4. φ. 369α Ἡ γενομένη ὑποτύπωσις παρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῶν ἐκκλησιῶν τῶν ὑποκειμένων τῷ πατριάρχῃ Κ/πόλεως.

5. φ. 369β Τὰ ὀφφίκια τῆς μεγάλης ἐκκλησίας (31 τὸ ὅλον) καὶ τὰ τοῦ παλατίου ὀφφίκια (φ. 370) (ἐν ὅλῳ 90).

Ἐν φ. 311 α « Τὸ παρὸν πρόχειρον τῶν νόμων ἐγράφη χειρὶ τοῦ ἀπὸ τῶν πατριαρχικῶν νοταρίων Ἰωάννου τοῦ

Ὀλοβώλου ἐν τῷ πατριαρχείῳ καὶ ἐτελειώθη κατὰ μῆνα Μάρτιον τῆς ζ' ἰνδ. τοῦ ϛωοζ (1369) ἔτους ».

## 1400. — Κ 113. Διάφορα.

Χαρτ. 21 × 14 αἰῶν. ιϛ' (1518) φ. 368.

**1.** φ. 6α Ἀρχὴ σὺν Θεῷ ἁγίῳ οἱ ιη' ὕμνοι τοῦ ἁγίου Θηκαρᾶ καὶ ἡ διήγησις αὐτοῦ καὶ ἡ εὐχὲς ὅλαις καὶ τὰ πένθη αὐτοῦ καὶ λόγοι ἄλλοι πολλὰ ὠφέλιμοι.

**2.** φ. 211α Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν ὕμνων πῶς θεόθεν δεδώρηνται καὶ ὅτι χρὴ τοὺς αἱρουμένους λέγειν αὐτοὺς τηρεῖν ἑαυτοὺς ἀπὸ τῶν παθῶν . εἶτα καὶ μαρτυρίαι ἀπὸ τῶν ἁγίων διδασκάλων περὶ τῆς πρὸς Θεὸν αἰνέσεως καὶ περὶ τῆς πρὸς αὐτὸν εὐχαριστίας καὶ περὶ ἀρετῆς καὶ κακίας.

Τὸ πνεῦμα τοῦ πνεῖν ἔνθα βούλεται φήσας
ὁ καινοποιὸς καὶ παμπάλαιος Λόγος
καὶ νῦν ἀκριβῆ καινουργίᾳ τῶν ὕμνων
σαφεστέραν ἔδειξε τοῖς βουλομένοις.

**3.** 255α Ἐκ τῆς βίβλου τῶν ἁγίων πατέρων τὸ λεγόμενον Μέλισσα (περὶ διαφόρων ὑποθέσεων μαρτυρίαι).

**4.** φ. 256α Ἀκολουθία τῆς Ἀκαθίστου.

**5.** φ. 270α Εὐχαὶ διαφόρων (Συμεὼν τοῦ Θεολόγου στίχοι ἀνακρεόντιοι δίμετροι ὀκτασύλλαβοι « Ἀπὸ ρυπαρῶν χειλέων » · ἑτέρα εὐχὴ τοῦ αὐτοῦ διὰ στίχων ἰαμβικῶν ἀκαταλήκτων « ὦ πάτερ υἱὲ καὶ πνεῦμα τριὰς ἁγία ». Ἑτέρα Καλλίστου μοναχοῦ, τοῦ μεγάλου Βασιλείου, τοῦ Μεταφραστοῦ Συμεὼν διὰ στίχων εἰς τὴν Θεοτόκον « παντάνασσα πανύμνητε παρθενομῆτορ κόρη », τοῦ μεγάλου Βασιλείου).

**6.** φ. 271β Ἀκολουθία ὅταν ἐνυπνιασθῆ τις.

**7.** φ. 272α Περὶ ἰατρείας ψυχῆς πῶς δεῖ ἰαθῆναι.

**8.** φ. 272β Εὐχαὶ ἕτεραι (ἑκάστης προηγοῦνται τρία τροπάρια κατανυκτικά).

**9.** φ. 288α Κανὼν τοῦ Μεσονυκτικοῦ κατανυκτικὸς (ἦχος πλ. δ' « Ἀκατάληπτε Θεὲ ὁ ὑποδείξας διὰ Δαυὶδ μοι ».

**10.** φ. 291α Τροπάρια κατανυκτικὰ εἰς πάντας τοὺς ἤχους.

**11.** φ. 296α Κανὼν κατανυκτικὸς εἰς τὸν Χριστὸν (« Ἰησοῦ γλυκύτατε ») ἕτερος κατ' ἀβ ψαλλόμενος εἰς τὰς ἐπουρανίους δυνάμεις καὶ εἰς πάντας ἁγίους ἱκετήριος (ἦχος πλ. δ' « Ἄναρχε λόγε ἱεραῖς δεήσεσιν »).

**12.** φ. 302β Διήγησις ὀνομάτων ἁγίων πατέρων κατ' αβ.

**13.** φ. 304α Εὐχὴ εἰς τὴν Θεοτόκον « Ἔχουσα εὐμενεστάτη παναγία ».

**14.** φ. 305α Μεσονυκτικὸν ψαλλόμενον τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ ποίημα κυροῦ Ἰωσήφ.

**15.** φ. 312α Τοῦ ἁγίου Ἡσαΐου Λόγος περὶ ὑπακοῆς.

**16.** φ. 317α Εὐχὴ εἰς τὸν Χριστὸν (ἄνευ ἀρχῆς).

**17.** φ. 318β Περὶ Πασχαλίων.

**18.** φ. 327α Μαξίμου περὶ τῶν τεσσάρων ἀπαθειῶν.

« Πρώτη ἐστὶν ἀπάθεια ἡ παντελὴς ἀποχὴ τῶν κατ' ἐνέργειαν κακῶν. »

**19.** φ. 327β Ἰωσίππου περὶ τοῦ ᾅδου, ἐκ τοῦ λόγου τοῦ ἐπιγεγραμμένου κατὰ Πλάτωνος περὶ τῆς τοῦ παντὸς αἰτίας.

**20.** φ. 328α Ἑρμηνεία εἰς τὸ « ὁ ἐμβλέψας γυναικί » (Χρυσοστόμου, ἁγίου Νείλου).

**21.** φ. 329α Ἀθανασίου Ἀλεξανδρείας ἀπόδειξις ὅτι τὰ βρώματα ἡ ψυχὴ ἀναλίσκει.

**22.** φ. 329α Περὶ βαπτίσματος, περὶ δειλίας « Δειλία ἐστὶ νηπιῶδες ὕφος ἐν γηραλέᾳ κενοδόξῳ ψυχῇ ».

**23.** φ. 330α Ἐρωταποκρίσεις Ἑβραίου καὶ χριστιανοῦ.

**24.** φ. 343β Ἑτέρα διάλεξις Ἰουδαίου καὶ χριστιανοῦ λεχθεῖσα ἐν Ἀλεξανδρείᾳ ἐν ἡμέραις τοῦ ἁγιωτάτου Κυρίλλου ἀρχιεπισκόπου τῆς αὐτῆς πόλεως · ὁ μὲν χριστιανὸς ὀνόματι Τιμόθεος, ὁ δὲ Ἰουδαῖος ὀνόματι Ἀκύλας.

**25.** φ. 361β Τοῦ ἁγίου Μακαρίου Λόγος οὗ ἡ ἀρχή. « Δεῖ οὖν τὸν βουλόμενον υἱὸν Θεοῦ γενέσθαι κατανοῆσαι ἑαυτόν. »

**26.** φ. 363α Ἰωάννου τῆς Κλίμακος Λόγος οὗ ἡ ἀρχή :

« Μακάριος ὃς διὰ Θεὸν καθ' ἡμέραν λοιδορούμενος. »

**27.** φ. 366β Ὕμνος κατ' ἀβ εἰς τὴν γέννησιν τοῦ Χριστοῦ.

« Ἄναρχος Θεὸς καταβέβηκεν καὶ ἐν τῇ παρθένῳ κατῴκησεν. »

**28.** φ. 367β Παραίνεσις πνευματική.

Ἐν φ. 255 α « Τέλος σὺν Θεῷ τῆς παρούσης δέλτου.
Χριστῷ τελειώσαντι δόξα καὶ χάρις
εἰς τοὺς ἀλήκτους πάμπαν αἰῶνας κύκλους.
Ἔτους ζκϛ' (1518) μηνὶ Δεκεμβρίῳ ·
Ἡ φύσις αὕτη ἂν σφριγᾷ κατὰ φύσιν
οὐδεὶς ἱκανὸς ἐκφυγεῖν παρὰ φύσιν
καὶ μηδαμῶς ἄνθρωπε φεῦγε τὴν φύσιν
μήπως πρὸς ὕψος ἀφορῶν ὑπὲρ φύσιν
λάθῃς παρελθὼν εἰς φθορὰν παρὰ φύσιν ·
Θεοῦ γὰρ ἰσχὺς καὶ χάρις ὑπὲρ φύσιν
μόνη νικήσῃ τῆς φύσεως τὴν φύσιν. »

## 1401. — Κ 114. Διάφορα.

Χαρτ. 22 × 13 αἰῶν. ιε' φ. 356.

**1.** φ. 5α Τοῦ σοφωτάτου καὶ ἐν μακαρίᾳ τῇ λήξει γενομένου Ἰωάννου μοναχοῦ τοῦ Ζωναρᾶ ἑρμηνεία τῶν ἀναστασίμων Κανόνων τοῦ Δαμασκηνοῦ.

**2.** φ. 244α Ἑρμηνεία εἰς τὸ ρητὸν τοῦ ἀποστόλου « τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. »

**3.** φ. 248α Ἐρώτησις σχολαστικοῦ τινος πρὸς Συμεώ.ην τὸν ἐν ἁγίοις Θεολόγον.

« Τί ἦν ἐν τῷ κόσμῳ πρὸ τοῦ τὸν κόσμον γενέσθαι. »

4. φ. 262$^α$ Γρηγορίου τοῦ Διαλόγου ἀπάντησις πρὸς Πέτρον.

« Γνῶναι θέλω δέσποτα ἐὰν νῦν πρὸ τῆς ἀπολήψεως τῶν σωμάτων ἐν τῷ οὐρανῷ προσδεχθῆναι δύνανται αἱ ψυχαὶ τῶν δικαίων. »

5. φ. 264$^α$ Ἀθανασίου τοῦ μεγάλου πάπα Ἀλεξανδρείας πρὸς Ἀντίοχον ἄρχοντα περὶ πλείστων ἀναγκαίων ζητημάτων τῶν ἐν ταῖς θείαις ἀπορουμένων Γραφαῖς, κατὰ πεῦσιν δηλαδὴ συντεθέντα καὶ λύσιν.

6. φ. 290$^β$ Τοῦ Στηθάτου Λόγος οὗ ἡ ἀρχή : « Τρισυπόστατον τὸ θεῖον ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ Πνεύματι. »

7. φ. 291$^α$ Ἀναστασίου πατριάρχου Θεουπόλεως καὶ Κυρίλλου Ἀλεξανδρείας ἔκθεσις σύντομος τῆς ὀρθοδόξου ἡμῶν πίστεως.

8. φ. 293$^β$ Ἰωάννου τοῦ Δαμασκηνοῦ πρὸς τοὺς λέγοντας ἡ ὑπόστασις τοῦ Χριστοῦ κτιστὴ ἢ ἄκτιστος.

9. φ. 294$^α$ Ἀναστασίου μοναχοῦ τοῦ Σινᾶ ὄρους ἀποκρίσεις πρὸς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων εὐσεβῶν.

10. φ. 295$^α$ Μαξίμου τοῦ ὁμολογητοῦ Θεολογικόν.

11. φ. 295$^α$ Βασιλείου τοῦ μεγάλου ὅτι χρὴ πρὸς τὰς διαβολὰς μὴ ἀποσιωπᾶν.

12. φ. 296$^α$ Τοῦ ἁγίου Μαξίμου περὶ τῶν δύο φύσεων τοῦ Κυρίου καὶ ὅτι Ἄρειος μὲν καὶ Νεστόριος τόν τε τῆς θεολογίας καὶ τῆς οἰκονομίας λόγον διαιροῦσι, Σαβέλιος καὶ Εὐτυχὴς ἀπ' ἐναντίας τοῦτον συγχέουσι.

13. φ. 297$^α$ Ἰωάννου τοῦ Δαμασκηνοῦ, Γρηγορίου τοῦ Θεολόγου, Βασιλείου τοῦ μεγάλου, Χρυσοστόμου Θεολογικά.

14. φ. 199$^β$ Κεφάλαια ἀσκητικὰ διαφόρων πατέρων (Βασιλείου, Μακαρίου, Ἰσαάκ, Πέτρου τοῦ Δαμασκηνοῦ, Χρυσοστόμου, Ἀθανασίου, Ἰσιδώρου καὶ δὴ τοῦ ἀββᾶ Ἰσαὰκ) τοῦ Μαξίμου (κεφ. κε' φ. 321$^β$), Μακαρίου (κεφ. ια' φ. 322), Καρπαθίου, Ἰωάννου τῆς Κλίμακος, Μάρκου, Ἀθανασίου τοῦ μεγάλου (φ. 329), Θαλασσίου, Μαξίμου, Νείλου, καὶ λοιπῶν).

15. φ. 353$^α$ Παραίνεσις τοῦ ἁγίου Συμεὼν τοῦ νέου Θεολόγου.

Ἐν τέλει · « Ὁ ἔχων τὸ βιβλίον τοῦτο ἱερεὺς μνημόνευε ἐν ταῖς ἱεροτελεστίαις σου Διονύσιον ἱερομόναχον ὅτι αὐτοῦ ὑπάρχον πρότερον καὶ ἔχε τὸν μισθὸν παρὰ Θεοῦ.

Ἡ βίβλος ἥ δε Διονυσίου ταπεινοῦ Φιλιππουπόλεως. »

### 1402. — Κ 115. Λόγοι.

Χαρτ. 22×15 αἰῶν. ιη' φ. 631.

1. φ. 1$^α$ Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἡσαΐου τοῦ ἀναχωρητοῦ Λόγοι πάνυ ὠφέλιμοι (κθ').

2. φ. 186$^β$ Βασιλείου τοῦ μεγάλου Λόγος περὶ τοῦ δεῖ τὴν προσευχὴν προτιθέναι πάντων.

3. φ. 195$^α$ Διήγημα περί τινος Θεοδώρου ἐμπαθοῦς.

4. φ. 197$^α$ Ἰωάννου τοῦ Δαμασκηνοῦ Λόγος ψυχωφελὴς καὶ θαυμάσιος.

« Ἄξιον εἶνε νὰ γνωρίζῃ τινὰς ὅτι διπλοῦς εἶνε ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος. »

5. φ. 207$^α$ Περὶ μισομονάχου τινὸς ἐπισκόπου ὀνόματι Ἀμώς.

6. φ. 210$^α$ Τοῦ ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου τοῦ ἀσκητοῦ καὶ ἀναχωρητοῦ λόγοι ἀσκητικοὶ (90 ἐν ὅλῳ).

### 1403. — * Κ 116. Μέλισσα.

Χαρτ. 22×15 αἰῶν. ις' φ. 438.

1. φ. 1$^α$ Κυροῦ Γενναδίου τοῦ Σχολαρίου πατριάρχου Κ/πόλεως κεφάλαια πάνυ ὠφέλιμα.

« Τὸ φιλοπόνως προσδιατρίβειν ταῖς ἁμαρτίαις. »

2. φ. 3$^α$ Τοῦ αὐτοῦ μετὰ τὴν τῆς πατριαρχίας παραίτησιν περὶ τῆς ὁδοῦ τῆς σωτηρίας τῶν ἀνθρώπων δοθὲν μετὰ τὰς διαλέξεις ἔγγραφόν τε καὶ σύντομον ἀπάντησιν περὶ τῆς ἡμετέρας πίστεως καὶ τῶν Κεφαλαίων αὐτῆς περὶ ὧν γέγονεν ἡ διάλεξις · συνετμήθη ἔκ τινος συγγράμματος πλατυτέρου γεγονότος αὐτῷ ἐπὶ τῇ ὁμοίῳ ζητήσει πρὸ τῆς ἁλώσεως (ἴδ. καὶ Κώδ. Ω 43).

3. φ. 8$^α$ Περὶ πίστεως : « Αὕτη ἡ πίστις τῶν ὀρθοδόξων χριστιανῶν πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα ».

4. φ. 24$^α$ Τοῦ ἁγιωτάτου Ξιφιλίνου ἐξήγησις τινῶν εὐαγγελικῶν ῥητῶν « εἶπεν ὁ Κύριος ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ ».

5. φ. 47$^α$ Τοῦ αὐτοῦ ὁμιλίαι (τῇ Κυριακῇ τῆς Βαϊφόρου, τῇ Κυριακῇ τοῦ Θωμᾶ (φ. 67), τῶν Μυροφόρων (φ. 78), τῆς Σαμαρείτιδος (φ. 86), τῶν ἁγίων πάντων (φ. 98).

6. φ. 110$^α$ Τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Ταυρομενείας τῆς Σικελίας τουπίκλην Κεραμέως ὁμιλίαι (49).

7. φ. 214$^α$ Τοῦ αὐτοῦ ἑρμηνεία τῶν ἑωθινῶν εὐαγγελίων.

8. φ 242$^α$ Τοῦ αὐτοῦ Λόγος περὶ τῆς μεταστάσεως τοῦ πανσέπτου τῆς Θεοτόκου σώματος καὶ ὅτι ἀνέστη ἐκ τῶν νεκρῶν πρὸ τῆς κοινῆς ἀναστάσεως.

9. φ. 247$^α$ Λόγος περὶ τῆς ὀρθοδόξου πίστεως καὶ κατὰ Ἀρειανῶν, Εὐνομιανῶν καὶ λοιπῶν.

« Ἀρειανοὶ καὶ Εὐνομιανοὶ οὐ μίαν οὐδὲ ἁπλῆν φύσιν εἰσῆγον θεότητος ἐν τρισὶν προσώποις θεωρουμένην. »

10. φ. 266$^α$ Ἀρχὴ σὺν Θεῷ ἁγίῳ αἱ διαθῆκαι τῶν δώδεκα πατριαρχῶν υἱῶν Ἰακώβ.

11. φ. 283$^α$ Τοῦ μεγάλου Βασιλείου πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν.

12. φ. 287$^β$ Περὶ διαφόρων τρόπων σωτηρίας ψυχῆς καὶ περὶ μετανοίας.

13. φ. 307$^α$ Ἐκλογὴ ὑπὸ ὁσίων πατέρων ἐκ τῆς θεοπνεύστου Γραφῆς παλαιᾶς τε καὶ νέας Διαθήκης ἅμα καὶ αἰνίγματα ἁγίων ἀνδρῶν τε καὶ γυναικῶν.

14. φ. 311α Ἕτερα περὶ μακαρισμοῦ καὶ ταλανισμοῦ ὠφέλιμα.

15. φ. 326α Γερόντων διάλεξις πρὸς ἀλλήλους περὶ λογισμῶν.

16. φ. 326α Περὶ τῆς ὑπεραγίας Θεοτόκου ὅτι ἐν σχήματι ἀνθρώπου εἶδε τὸν Γαβριήλ.

17. φ. 326β Γρηγορίου τοῦ Παλαμᾶ περὶ τῆς παναγίας πότε ἔσχε τὴν ἀρχὴν γενέσθαι.

18. φ. 327α Περὶ τοῦ Κυριακοῦ σώματος καὶ αἵματος οὗ μεταλαμβάνομεν.

19. φ. 329α Διατὶ λέγονται βαΐα τὰ κλαδία τῶν φοινίκων, καὶ περὶ τῶν ἑπτὰ ἡλικιῶν τοῦ ἀνθρώπου.

20. φ. 330α Ἰωάννου Χρυσοστόμου Λόγος περὶ τῶν ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων καὶ ἀθέων αἱρετικῶν.

21. φ. 335α Τοῦ αὐτοῦ περὶ ὅρκων.

22. φ. 337β Διάταξις τῆς μοναδικῆς πολιτείας.

23. φ. 338α Τὰ ἑπτὰ μυστήρια τῆς ὀρθοδόξου πίστεως καὶ περὶ τῆς θείας λειτουργίας τὸ πότε ἐστι δεκτὴ εἰς τὸν θεόν.

24. φ. 338α Ἑρμηνεία τοῦ « πάτερ ἡμῶν ».

25. φ. 340α Περὶ τῆς τελευτῆς τοῦ Ἀδάμ

26. φ. 342α Ἑρμηνεία τοῦ βαπτίσματος — Περὶ πίστεως.

27. φ. 349α Γρηγορίου τοῦ Θεολόγου περὶ τοῦ τίνα χρὴ ἀναγινώσκεσθαι βιβλία τῆς παλαιᾶς καὶ τῆς νέας Γραφῆς (ἐκ τῶν ἐμμέτρων αὐτοῦ ποιημάτων).

28. φ. 350α Τοῦ ἁγίου Μαξίμου λόγοι ὠφέλιμοι.

29. φ. 351α Γρηγορίου Νύσσης περὶ τῆς ἁγίας Τριάδος καὶ διάλογος τῶν ἁγίων μεγάλων ἱεραρχῶν Βασιλείου καὶ Γρηγορίου τοῦ Θεολόγου.

30. φ. 352α Ἀναστασίου πατριάρχου Θεουπόλεως ἤτοι Ἀντιοχείας ἐξήγησις περὶ τῶν ἐν Περσίδι πραχθέντων.

« Βασιλεύοντος Ἀρινάτου τῆς Περσικῆς χώρας. »

31. φ. 361α Μαξίμου τοῦ ὁμολογητοῦ Λόγος ἀσκητικὸς πάνυ ὠφέλιμος κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

« Ἀδελφὸς ἠρώτησε γέροντα, τίς ὁ σκοπὸς ἦν τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως. »

32. φ. 369α Ἀναστασίου πατριάρχου Ἀντιοχείας περὶ τοῦ κυρίως κατ' εἰκόνα · καὶ σύνοψις σαφὴς καὶ σύντομος καὶ διάγνωσις τῆς πίστεως ἡμῶν τῆς ἐν τῇ ἁγίᾳ Τριάδι.

33. φ. 373α-438 Περὶ βίου ἀρετῆς καὶ κακίας (μαρτυρίαι ἐκ τοῦ ἱεροῦ εὐαγγελίου, προφητῶν καὶ λοιπῶν ἁγίων καὶ ἔξω φιλοσόφων).

Ἐν φ. 438 α

« Μέλιτταν τὴν μέλιτος μελιττοτέραν
ἥτις γέμει μέλιτος γλυκέου πάνυ
Νεόφυτος ἔγραψεν ὁ ἐν τῷ ὄρει... »

## 1404. — Κ 117. Θεοφίλου Κορυδαλέως.

Χαρτ. 21 × 15 αἰῶν. ιη' φ. 212 κολοβ.

1. φ. 1α Κορυδαλέως Ῥητορικὴ ἢ προγυμνάσματα.

2. φ. 57α Μελετίου Ἀθηνῶν περὶ ἀρχῶν.

3. φ. 109α Ἐξήγησις εἰς τὴν σύντομον τοῦ Ἀριστοτέλους περὶ ἀρετῶν καὶ κακιῶν διδασκαλίαν εἰς ἁπλῆν φράσιν ποιηθεῖσα μὲν ὑπὸ Σεβαστοῦ Τραπεζουντίου, ἀφιερωθεῖσα δὲ εἰς τὸν ὑψηλότατον εὐσεβέστατον καὶ θεοδόξαστον αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγκροβλαχίας Ἰωάννην Κωνσταντῖνον Μπασαράμπα βοεβόδα.

4. φ. 137α Θέματα εἰς τὸ ἐπιστολάριον τοῦ σοφωτάτου Θεοφίλου τοῦ Κορυδαλέως παρὰ τοῦ λογιωτάτου Γεωργίου τοῦ Τραπεζουντίου.

5. φ. 167α Θέματα διάφορα εἰς τὸ ἁπλοῦν καὶ ἑλληνικόν.

Ἐν φ. 167 α « Πόνος Ἰωάννου. »
Ἐν φ. 1 α « Καὶ τόδε πρὸς τοῖς ἄλλοις Ἰωάννου καὶ τῶν φίλων, νῦν δὲ Κυριατζῆ τοῦ ἐκ Ζαγορᾶς · νῦν δὲ Ἀνθίμου ἱερομονάχου Πελοποννησίου. »

## 1405. — Κ 118. Λόγοι.

Χαρτ. 21 × 15 αἰῶν. ιζ' φ. 179.

1. φ. 1α Νικηφόρου μονάζοντος Λόγος ὠφελείας μεστὸς περὶ φυλακῆς καρδίας.

2. φ. 4α Ἐκ τοῦ βίου διαφόρων ἀββάδων.

3. φ. 18α Συμεὼν τοῦ νέου Θεολόγου περὶ διαφορᾶς προσοχῆς καὶ προσευχῆς.

4. φ. 33α Τοῦ αὐτοῦ Στίχοι τῆς ἱερᾶς προσοχῆς.

« Ὅστις βούλεται τὸ φῶς ἐκεῖνο βλέψαι. »

5. φ. 38α Ἡσυχίου πρεσβυτέρου πρὸς Θεόδουλον Λόγος ψυχωφελὴς περὶ νήψεως καὶ ἀρετῆς κεφαλαιώδης. Ἀρχὴ φωτισμοῦ ψυχῆς, ἀληθὴς ὑποθήκη, τὰ λεγόμενα ἀντιρρητικὰ καὶ εὐκτικὰ κεφ. ρ'. — Ἕτερα Κεφάλαια ρ' τοῦ αὐτοῦ (φ. 64), ἕτερα κεφ. ε' τοῦ αὐτοῦ (φ. 94).

6. φ. 97α Φιλοθέου μοναχοῦ μονῆς τῆς ὑπεραγίας Θεοτόκου τῆς Βάτου ἐν Σινᾶ Κεφάλαια λη'.

« Ἔστι νοητὸς πόλεμος ἐν ἡμῖν αὐτοῖς τοῦ αἰσθητοῦ χαλεπώτερος. »

7. φ. 121α Τοῦ αὐτοῦ Δεῖ εἰδέναι ὅτι τῇ τῆς καρδίας φυλακῇ φυλάσσονται αἱ θεῖαι τοῦ Χριστοῦ ἐντολαί.

8. φ. 132α Τοῦ ἀββᾶ Μακαρίου περὶ ἀγῶνος καὶ σπουδῆς καὶ τῆς τοῦ νοῦ τηρήσεως καὶ εὐχῆς.

9. φ. 159α Τοῦ αὐτοῦ Κεφάλαια ὠφελείας πάσης πληρωμένα — ἕτερα Κεφάλαια τοῦ αὐτοῦ (φ. 176).

## 1406. — *Κ 119. Γρηγορίου Νύσσης.

Χαρτ. 22 × 14 αἰῶν. ιζ' (1635) φ. 421 ἀκέφ. κολοβ.

1. Γρηγορίου Νύσσης Ὁμιλίαι (10) εἰς τὸν Ἐκκλησιαστήν.

Ἐν φ. 138 β
« Σοφὸς σοφοῦ δόγματα πανσόφως λύει
ὁ Γρηγόριος Σολομῶντος τοῦ πάνυ·
εἰ γοῦν ἐπέλθῃς ἀκριβῶς ταῦτα φίλος
καὶ σὺ σοφισθῇς καὶ σοφῶν ἔσῃ φίλος
τέως δὲ νῦν μέμνησο κἀμοῦ τοῦ Κρήτης·
Ἐκκλησιάζει τοῖς λόγοις καὶ τοῖς τρόποις
ὁ νοῦς ὁ λεπτὸς τῶν νοημάτων κράτος
ὁ Γρηγόριος ἡ θάλαττα τῶν λόγων
καθαγιάζων νοῦν ψυχὴν σῶμα φρένας
τοῖς ἐνθέοις ῥήμασιν αὐτοῦ πανσόφως
σοφοῦ σοφίζων Σολομῶντος τοὺς λόγους.

2. φ. 139α Τοῦ αὐτοῦ ἐξήγησις εἰς τὸ « πάτερ ἡμῶν » (ὁμιλίαι ε΄).

3. φ. 165α Τοῦ αὐτοῦ Ὁμιλίαι (η΄) εἰς τοὺς Μακαρισμούς.

4. φ. 204α Τοῦ αὐτοῦ Ὁμιλίαι (ιζ΄) εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων.

5. φ. 375α Τοῦ αὐτοῦ εἰς τὸν βίον Μωϋσέως περὶ ἀρετῆς.

Ἐν φ. 138 α « Ἐν ἔτει ͵ζρμγ (1635) ἰνδ. γ΄ μηνὶ Μαΐῳ β΄. »

## 1407. — Κ 120. Πέτρου Δαμασκηνοῦ.

Χαρτ. 21 × 14 αἰῶν. ιζ΄ (1642) φ. 276.

1. φ. 1α Ἀρχὴ σὺν Θεῷ τῆς ὑποθέσεως τῆς βίβλου τῆς ἐχούσης μὲν τὴν ἀνάμνησιν τῆς ἰδίας ψυχῆς, ὑπὸ δὲ εὐχῶν πατέρων συνεγράφη, Παύλου τε φημὶ σὺν Μάρκῳ, Θωμᾷ καὶ Ἰωάννῃ, ἅμα Ἰακώβῳ τε Λουκᾷ καὶ Μακαρίῳ τε πρὸς ὃν ἐστάλη αὕτη παρὰ μοναχοῦ τοῦ Δαμασκηνοῦ Πέτρου, συνεργίᾳ καὶ τριῶν ἀρχιερέων, ὧν αἱ εὐχαὶ συνήργησαν τῷ λόγῳ, τῇ δὲ συμβουλῇ ὠφέλησαν μεγάλως.

2. φ. 134α Πέτρου Δαμασκηνοῦ μοναχοῦ εἰς τὸ « πρόσεχε σεαυτῷ ».

3. φ. 142α Γεροντικὸν ἢ παράδεισος · Παραινέσεις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος.

4. φ. 205α Κανὼν εἰς τὴν Θεοτόκον (ἦχος πλ. β΄ « Χαῖρε τῶν πατέρων τὸ εὔφημον κράτος »).

5. φ. 212α Εὐχαὶ μετὰ τὸν Τριαδικὸν κανόνα.

6. φ. 215α Κανὼν παρακλητικὸς εἰς τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον Ἰωάννου τοῦ Δαμασκηνοῦ (;), οὗ ἡ ἀκροστιχίς : τὸν ἄγγελον μέλπω σε τὸν φύλακα μου · (ὁ Κανὼν εἶνε τοῦ Εὐχαΐτων Ἰωάννου τοῦ Μαυρόποδος).

7. φ. 223α Εὐχὴ πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

8. φ. 228α Κανὼν κατανυκτικὸς εἰς τὸν Χριστὸν (ἦχος πλ. β΄ « Ἁμαρτιῶν μου τὰ πάθη τὰ χαλεπὰ »).

9. 233α Εὐχὴ θεωρητικὴ εἰς τὸν Χριστόν.

10. φ. 236α Κανὼν παρακλητικὸς εἰς τὴν Θεοτόκον (ἦχος πλ. β΄ πῶς μου θρηνήσω τὸν βίον τὸν ῥυπαρόν »).

11. φ. 241α Κανὼν κατανυκτικὸς εἰς τὸν Χριστὸν (ἦχος πλ. β΄ « ὁ δικαιώσας Τελώνην καὶ τὸν λῃστήν »).

12. φ. 245α Εὐχὴ τοῦ μεγάλου Βασιλείου. καὶ ἄλλη εὐχὴ (φ. 246).

13. φ. 248α Κανὼν κατανυκτικὸς φέρων ἀκροστιχίδα : « τὸν νυκτερινὸν ὕμνον ὦ σῶτερ δέχου Θωμᾶ ».

14. φ. 253α Κανὼν εἰς τὸν Κύριον ἡμῶν ποίημα τοῦ σοφωτάτου Ψελλοῦ (ἦχος πλ. δ΄ « Οἴμοι ψυχή μου πῶς ὑπάρχεις ἄκαρπος ἀμετανόητος »).

15. φ. 259α Εὐχὴ λεγομένη ὑπό τινων μετὰ τὸ Ἀπόδειπνον.

16. φ. 261α Κανὼν ἱκετήριος εἰς τὸν Χριστὸν ἐπὶ ἐνοχλουμένων ὑπὸ πονηρῶν λογισμῶν (ἦχος πλ. β΄ « Ἐπὶ τὴν σὴν καταφεύγω λόγε Θεοῦ ἀληθῆ βοήθειαν »).

17. φ. 264α Εὐχαὶ ἱκετήριοι εἰς τὸν Χριστόν.

18. φ. 268β Ἐκ τῶν διὰ στίχων λόγων τοῦ ἁγιωτάτου πατριάρχου Κ/πόλεως Κυροῦ Νικολάου πάνυ ἀναγκαῖα · Ἐκ τῶν ἐντολῶν τῆς παλαιᾶς Διαθήκης · « Ὀφείλει πᾶς χριστιανὸς τὸν θεμέλιον ἔχειν ».

Ἐν φ. 133 β « Ἐγράφη χειρὶ Ἀντωνίου ἱερομονάχου εὐτελοῦς ͵ζρν΄ (1642) μηνὶ Ἰουλίῳ ιε΄ · Ξηροποτάμῳ. »

## 1408. — Κ 121. Μιχαὴλ τοῦ Γλυκᾶ.

Χαρτ. 20 × 14 αἰῶν. ιζ΄ (1670) φ. 421.

Μιχαὴλ τοῦ Γλυκᾶ Λόγοι (ἑβδομήκοντα καὶ εἷς) · πάντας τούτους ἐξέδοτο ὁ Σεβ. Μητροπολίτης Σωφρόνιος Εὐστρατιάδης ἐν 2 τόμοις. Εἰς τὴν θέσιν τοῦ αἱρετικοῦ κεφαλαίου τοῦ Γλυκᾶ εὕρηται ἐν τῷ Κώδ. τόδε : Νικήτα μονάζοντος καὶ πρεσβυτέρου μονῆς τῶν Στουδίων τοῦ Στηθάτου Ρωμαίοις περὶ ἀζύμων καὶ σαββάτων νηστείας καὶ γάμου ἱερέων καὶ τελείας λειτουργίας τῶν νηστειῶν (κεφ. Ο΄).

Ἐν τέλει « Ἐγράφη τὸ παρὸν βιβλίον τὸ καλούμενον Γλυκᾶς διὰ χειρὸς Ἱεροθέου ἱερομονάχου εὐτελοῦς καὶ ἀμαθοῦς εἰς τὸν Γαλατᾶ ἐν ἔτει σωτηρίῳ ͵αχο΄ » (1670).

## 1409. — Κ 122. Λουκιανοῦ.

Χαρτ. 23 × 16 αἰῶν. ιη΄ σελ. 715.

1. σ. 1α Λουκιανοῦ Σαμοσατέως ἐνύπνιον · β) Διάλογος Διογένους καὶ Πολυδεύκου (φ. 23) · γ) Πλούτων ἢ κατὰ Μενίππου (φ. 28) · δ) Ἑρμοῦ καὶ Χάρωνος (φ. 31) · ε) Πλούτωνος καὶ Ἑρμοῦ (φ. 33) · ς) Τερψίων ἢ Πλούτωνος (φ. 36) · ζ) Ξενοφάντου καὶ Καλλιδημήδους (φ. 39) · η) Κνίμωνος καὶ Δαμνίπου (φ. 41) · θ) Χάρωνος καὶ Ἑρμοῦ (φ. 43) · ι) Ἀλεξάνδρου καὶ Φιλίππου (φ. 60) · ια) Διογένους καὶ Ἀλεξάνδρου (φ. 63) . ιβ) Διογένους καὶ Ἡρακλέους (φ. 79) · ιγ) Μενίππου καὶ Ταντάλου (φ. 79) · ιδ) Μενίππου Αἰακοῦ Πυθαγόρου καὶ Σωκράτους (φ. 84) · ιε) Χάρωνος Μενίππου καὶ Ἑρμοῦ (φ. 90) · ις) Διογένους καὶ Μαυσώλου (φ. 98) · ιζ) Νιρέως Θερσίτου καὶ Μενίππου (φ. 91) · ιη) Ἑρμοῦ Χάρωνος Κροίσου Σόλωνος ἢ ἐπισκοποῦντες (φ. 106) · ιθ) Τίμων ἢ μισάνθρωπος (φ. 161) · κ) Ἕτερον Τίμων ἢ μισάνθρωπος (φ. 209) (μεθ΄ ἑρμηνείας).

**2.** σ. 289 Βασιλείου τοῦ μεγάλου ὁμιλία εἰς τὸ « πρόσεχε σεαυτῷ ».

**3.** σ. 335 Ἰωάννου Χρυσοστόμου Λόγος περὶ προσευχῆς — λόγος εἰς τὸν ἀπόστολον Παῦλον (φ. 357) — ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας (φ. 406) — εἰς τὴν παραβολὴν τοῦ ἀσώτου (φ. 423).

**4.** σ. 447 Κανόνες εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ, τῶν Χριστουγέννων (φ. 463), τῶν Θεοφανείων (φ. 493), τῆς Ὑπαπαντῆς (φ. 517), τῆς μεγάλης ἑβδομάδος (φ. 533) (ἅπαντες ἐξηγημένοι).

**5.** σ. 567 Γαυρίου ἕλληνος τετράστιχα (μεθ' ἑρμηνείας).

**6.** φ. 589 Θεοδώρου ἐγκώμια, λόγοι, ἐπιτάφια.

**7.** φ. 607 Θέματα εἰς τὰ ἕξ εἴδη τῶν ἐνεργητικῶν ποίημα Νεοφύτου.

Ἐν τέλει · « Τέλος τοῦ παρόντος Διονύσιος ἱερομόναχος. »

**1410. — Κ 123. Ἀθανασίου Ἀλεξανδρείας.**

Χαρτ. 22 × 13 αἰῶν. ιδ (1305) φ. 254.

Δαυὶδ προφήτου καὶ βασιλέως δέλτος Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἑρμηνεία εἰς τὸ ψαλτήριον.

Ἐν τέλει · « ϛωιγ' (1305) μηνὶ Ἀπριλίῳ. »

**1411. — Κ 124. Κεφάλαια ἀσκητικά.**

Χαρτ. 22 × 15 αἰῶν. ιε' φ. 199.

**1.** φ. 1α Τοῦ ἁγίου Μαξίμου καὶ φιλοσόφου καὶ ὁμολογητοῦ κεφάλαια 400 περὶ ἀγάπης.

**2.** φ. 66α Τοῦ ὁσίου Μάρκου Κεφάλαια πρακτικὰ περιέχοντα περὶ νόμου πνευματικοῦ.

**3.** φ. 79α Τοῦ ὁσίου Νείλου ἐπιστολαὶ ἐκ πολλῶν ἀνθολογηθεῖσαι πρός τινας πατέρας κατὰ Θεὸν καὶ ἀδελφοὺς ἁγίους ἀντιγραφαὶ δηλαδὴ πρὸς ἰατρείαν καὶ παρηγορίαν μεγίστην τῶν ψυχῶν αὐτῶν παρ' αὐτοῦ ἀποσταλεῖσαι.

**4.** φ. 86α Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Καρπάθου πρὸς τοὺς ἐν τῇ Ἰνδίᾳ μοναχοὺς γράψαντας αὐτῷ πρακτικὰ καὶ παραμυθητικὰ Κεφάλαια ἑκατόν.

**5.** φ. 107α Ἀββᾶ Διαδόχου κεφάλαια ἢ ὅροι δέκα.

**6.** φ. 109α Τοῦ αὐτοῦ Κεφάλαια ρ'.

**7.** φ. 166α Εὐαγρίου μοναχοῦ Κεφάλαια πρακτικὰ με'.

**1412. — *Κ 125. Διάφορα.**

Χαρτ. 21 × 13 αἰῶν. ιε' φ. 410.

**1.** φ. 1α Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Παϊσίου τοῦ μεγάλου συγγραφεὶς παρὰ τοῦ ὁσίου Ἰωάννου μοναχοῦ τοῦ Κολοβοῦ.

« Ὥσπερ τὰ τερπνὰ τοῦ βίου καίπερ ὄντα τερπνά. »

**2.** φ. 47α Βασιλείου τοῦ μεγάλου Λόγος πάνυ ὠφέλιμος περὶ μοναχικῆς πολιτείας.

**3.** φ. 67α Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Χείλωνα τὸν αὐτοῦ μαθητήν.

**4.** φ. 75α Συναγωγὴ θεοφθόγγων ρημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων πατέρων.

**5.** φ. 91α Ἐπιστολὴ Συμεὼν μητροπολίτου Εὐχαΐτων πρὸς Ἰωάννην μοναχὸν καὶ ἔγκλειστον.

« Τρία μέρη λέγουσιν οἱ πατέρες ἔχειν τὴν λογικὴν ψυχήν. »

**6.** φ. 98α Ἀναστασίου τοῦ Σιναΐτου περὶ διαφόρων τρόπων μετανοίας καὶ σωτηρίας ψυχῶν ἐν κεφαλαίοις δέκα.

« Γινώσκων ὁ Θεὸς τὸ ἀσθενὲς καὶ εὐόλισθον τῆς ἀνθρωπίνης φύσεως. »

**7.** φ. 106α Περὶ ταπεινώσεως, περὶ θυμοῦ, περὶ ὀργῆς, περὶ λοιδορίας, περὶ σωφροσύνης.

**8.** φ. 110α Γρηγορίου τοῦ Σιναΐτου μέθοδος περὶ τῆς θείας καὶ ἱερᾶς προσευχῆς πρὸς Λογγῖνον τὸν αὐτοῦ μαθητήν.

**9.** φ. 114α Ἀρχὴ σὺν Θεῷ τῆς ὑποθέσεως τοῦ βιβλίου τῆς ἐχούσης μὲν τὴν ἀνάμνησιν τῆς ἰδίας ψυχῆς, ὑπὸ δὲ εὐχῶν πατέρων συνεγράφη, Παύλου τε φημὶ σὺν Μάρκῳ Θωμᾷ καὶ Ἰωάννῃ ἅμα, Ἰακώβῳ τε Λουκᾷ καὶ Μακαρίῳ τε, πρὸς ὃν ἐστάλη αὕτη παρὰ μοναχοῦ τοῦ Δαμασκηνοῦ Πέτρου συνεργίᾳ τριῶν ἀρχιερέων ὧν αἱ εὐχαὶ μὲν συνήργησαν τῷ λόγῳ, τῇ δὲ συμβουλῇ ὠφέλησαν μεγάλως.

**10.** φ. 266α Περὶ τῆς νεκρᾶς κόρης.

**11.** φ. 271α Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου τοῦ Ἀθηναίου τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θράκης τῆς οὔσης ἐπέκεινα τῶν ἐνδοτάτων μερῶν τῆς εἰσόδου Αἰθιοπίας ἐπέκεινα τοῦ ἔθνους τῶν Χετταίων.

« Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Σεραπίων. »

**12.** φ. 282α Συμεὼν τοῦ νέου Θεολόγου περὶ τοῦ ὅτι τὸ κρατεῖν τὰ ἀναγινωσκόμενα τῶν θείων Γραφῶν ὅλον τοῦ Θεοῦ καὶ περὶ προσευχῆς καὶ ἀναγνώσεως.

**13.** φ. 286β Τοῦ ἀββᾶ Ἡσαΐου περὶ φυλακῆς καρδίας.

**14.** φ. 290β Λόγος πλήρης κατανύξεως ὃς καὶ ὀφείλει καθ' ἡμέραν σχεδὸν ἀναγινώσκεσθαι.

**15.** φ. 292α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀρσενίου τοῦ μεγάλου.

« Πολλαὶ τῶν σπουδαίων ἄρα καὶ φιλαρέτων ἀνδρῶν αἱ πράξεις. »

**16.** φ. 320α Κεφάλαια πάνυ ὠφέλιμα ἐκλεχθέντα ἀπὸ διαφόρων βιβλίων, ἐξαιρέτως ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου παρὰ τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν κυροῦ Ἰσαὰκ τοῦ ἀναχωρητοῦ.

**17.** φ. 332α Ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου περὶ τῆς ἀλλοιώσεως τῆς ἐν τῇ ψυχῇ γινομένης τοῦ φωτὸς καὶ τοῦ σκότους ἐν τοῖς δεξιοῖς καὶ ἀριστεροῖς.

**18.** φ. 337α Βίος τοῦ ἁγίου Ἀντωνίου τοῦ νέου τοῦ ἐπὶ εἰκονομάχων.

« Ὁ ὅσιος πατὴρ οὗτος Ἀντώνιος ἐξ ἀρχοντικῆς ἀξίας τῇ μοναδικῇ προσελθὼν πολιτείᾳ. »

19. φ. 341α Ἠθικά.

20. φ. 368β Παραίνεσις πρὸς τοὺς θέλοντας σωθῆναι μοναχούς, ὡς ἐν συνόπτῳ τοῦ ἐν ἐπισκόποις λογιωτάτου κυροῦ Δαμασκηνοῦ Λιτῆς καὶ Ρενδίνης καὶ προέδρου Πολυανῆς.

21. φ. 373α Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου ποιηθὲν ὑπὸ ἁγίου ἀνδρὸς κυροῦ Θεοδώρου τοῦ Πτωχοπροδρόμου.

« Καλῶς ἐφήμοσεν ἡ τάξις τὴν τοῦ Προδρόμου. »

22. φ. 383α Τοῦ μεγάλου Βασιλείου Λόγος εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν.

23. φ. 395α Τοῦ ἁγίου Βασιλείου ἐπισκόπου Σελευκίας Λόγος εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

« Μεγάλας τῶν ἐγκωμίων εὑρήσει τὰς ἀφορμάς. »

**1413. — Κ 126. Πέτρου Δαμασκηνοῦ.**

Χαρτ. 21 × 15 αἰῶν. ιη' φ. 655.

1. φ. 1α Πέτρου Δαμασκηνοῦ Κεφάλαια (εἰς Βιβλία δύο ἐξ ὧν τὸ πρῶτον περιέχει 41 Κεφάλαια, τὸ δὲ δεύτερον 24 κατ' ἀβ. Ἑκάστου Κεφαλαίου προηγοῦνται Στίχοι · κεφ. α' « περὶ τοῦ ὅτι ἀρχὴ παντὸς ἀγαθοῦ ἡ φυσικὴ γνῶσις »). Οἱ πρὸ τοῦ δευτέρου βιβλίου Στίχοι :

« Πρόλογος ἰδοὺ καὶ ἄλφα τὸ στοιχεῖον
τὴν πνευματικὴν περιέχει σοφίαν ·
ὥσπερ γὰρ αὐτὸ τῶν γραμμάτων ἁπάντων
ἀρχὴ τυγχάνει διαλέκτῳ ἐν πάσῃ
οὕτως ἁπασῶν τῶν ἀρετῶν καὶ αὐτὴ
ἔναρξίς ἐστι κἂν τέλος πάντων πάλιν ·
ἀλλὰ καθάπερ ὁ ἀλφάβητος πέλει
νηπιῶδες μάθημα οὗτινος ἄνευ
οὐκ ἔστιν ἐκμαθεῖν τι τῶν μαθημάτων
καὶ τῆς γνώσεως ἡ ἀρχὴ οὑτωσίπερ
μικρὰ κἂν πάνυ πέλῃ, ἀλλ' ἧς περ δίχα
οὐκ ἔστιν εὑρεῖν ἀρετὴν τὸ παράπαν ·
νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον ὦ πάτερ. »

Ἐν φ. 345α

« Τέλος τῶν τοῦ Πέτρου καὶ Δαμασκηνοῦ πονημάτων.

Ἡ συντεθεῖσα συγγραφὴ θεοφρόνως
πρᾶξις μοναχῶν εὐπρεπεστάτη πέλει
ἄκος φέρουσα ψυχικῶν νοσημάτων
τοῖς εἰδόσι τε τληπαθῶς φέρειν πόνους ·
ὅρος γὰρ οὗτος τοῖς ἀθλοῦσι προφρόνως. »

2. φ. 347α Τοῦ ἁγίου Ἡσυχίου πρεσβυτέρου καὶ καθηγουμένου μονῆς τῆς ὑπεραγίας Θεοτόκου τῆς Βάτου Κεφάλαια κδ' κατ' ἀλφάβητον σύντομα καὶ λίαν ψυχωφελῆ ἅπερ ἔγραψε πρὸς Θεόδουλον περὶ νήψεως καὶ καρδιακῆς ἡσυχίας καὶ ἀδιαλείπτου ἐπικλήσεως Κυρίου Ἰησοῦ Χριστοῦ.

« Ἀληθινὸς ὄντως μοναχὸς οὗτός ἐστιν ὁ νῆψιν κατορθῶν. »

Ἐν φ. 374β « Τέλος τῶν παρόντων κδ' κεφαλαίων.

Νοὸς κύημα καὶ γέννημα καρδίας
ταῦτα πέφυκε τοῦ ἀββᾶ Ἡσυχίου
ἔρεισμα καὶ στήριγμα τῶν μονοτρόπων
ἀνάβασίς τε πρὸς Θεὸν ψυχῆς ξένη
τοῖς νουνεχῶς ἅπασι τούτοις χρωμένοις ».

3. φ. 375α Διασάφησις περὶ τῶν ἐμφερομένων τῇ θείᾳ εὐχῇ ῥημάτων, ἤτοι περὶ τοῦ Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ Θεοῦ ἐλέησόν με.

4. φ. 381α Περὶ ἡσυχαστῶν · τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Σιναΐτου · περὶ τοῦ πῶς δεῖ καθέζεσθαι τὸν ἡσυχάζοντα εἰς τὴν εὐχήν · (ἴδ. Κώδ. Κ 110).

5. φ. 424α Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμεὼν τοῦ νέου Θεολόγου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς τοῦ ἁγίου Μάμαντος τῆς Ξηροκέρκου.

« Χρῆμα θερμὸν ἀρετὴ καὶ δεινὸν μὲν ἐμφυσῆσαι. »

6. φ. 524α Ἐκ τῆς συγγραφῆς Συμεὼν τοῦ νέου Θεολόγου ἐκ τοῦ β' βιβλίου αὐτοῦ τοῦ λγ' λόγους περιέχοντος · λόγος κς' περὶ μετανοίας καὶ ἀρχῆς βίου μοναδικοῦ — Τοῦ αὐτοῦ λόγος λδ' περὶ μετανοίας καὶ κατανύξεως καὶ ἐκ ποίων ταύτην ἔργων κτήσασθαι δυνατὸν (φ. 529) · καὶ τὰ ἑξῆς ὅσα περιλαμβάνει καὶ ὁ Κῶδ. Κ 110.

**1414. — Κ 127. Διάφορα.**

Χαρτ. 20 × 18 αἰῶν. ιη' (1742) φ. 68.

1. Συνταγμάτιον (ἔντυπον) περιέχον κανόνας καὶ εὐχὰς ἱκετηρίους συντεθέντα παρὰ τοῦ εὐλαβεστάτου ἐν ἱερεῦσι Κυρίου Ματθαίου Τζιγάλα τοῦ Κυπρίου. Ἐνετίῃσιν ἔτει ἀπὸ Χριστοῦ αψμα'.

2. φ. 1α Ἀκολουθία τοῦ ἁγίου ἱερομάρτυρος Ρηγίνου ἐπισκόπου Σκοπέλου νῦν πρῶτον τυπωθεῖσα ἀναλώμασι τοῦ τιμιωτάτου καὶ ἐλλογιμωτάτου ἐν ἄρχουσι μεγάλου Γραμματικοῦ κὺρ Κωνσταντίνου Δεπόντε τοῦ ἐκ νήσου Σκοπέλων καὶ παρ' αὐτοῦ ἀφιερωθεῖσα τῷ ὑψηλοτάτῳ καὶ εὐσεβεστάτῳ αὐθέντῃ καὶ ἡγεμόνι πάσης Μολδοβλαχίας κυρίῳ κυρίῳ Ἰωάννῃ Νικολάου Βοεβόδα Μαυροκορδάτῳ.

3. φ. 42 Οἶκοι εἰς τὸν τίμιον σταυρόν (κδ').

4. φ. 49 Κωνσταντίνου Δαπόντε Μετάφρασις διὰ στίχων πολιτικῶν τοῦ περὶ ἐξόδου ψυχῆς λόγου καὶ δευτέρας παρουσίας Κυρίλλου Ἀλεξανδρείας μετὰ προσθήκης δύο διαλόγων κατ' ἀβ.

« Φοβοῦμαι φεῦ! τὸν θάνατον. »

Διάλογος ἁμαρτωλοῦ καὶ τῆς Θεοτόκου κατ' ἀβ.

« Ἀνύμφευτε θεόνυμφε. »

5. φ. 32α Μεγαλυνάρια ψαλλόμενα ἐν ταῖς θείαις καὶ ἱεραῖς λειτουργίαις καὶ ὅπου ἂν βούλει πρὸς τὴν τιμιωτέραν.

6. φ. 38α Κανὼν ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον ποίημα τοῦ πανιερωτάτου Νικηφόρου Οὐγκροβλαχίας τοῦ ἐκ Πελοποννήσου, οὗ ἡ ἀκροστιχὶς « Τυφλῶν ὁδηγήτρια φῶς μοι παρέχοις ».

Ἐν φ. 41 α « Ἐτελειώθη τὸ παρὸν βιβλιαράκι διὰ χειρὸς Μιχαὴλ Νοταρᾶ τοῦ ἰατροῦ 1747 Ἰουλίου κ' τοῦ ἁγίου Ἠλιοῦ. »

## 1415. — Κ 128. Διάφορα.

Χαρτ. 21 × 14 αἰῶν. ιη' φ. 348.

1. φ. 1α Διαδόχου ἐπισκόπου Φωτικῆς τῆς παλαιᾶς Ἠπείρου Κεφάλαια ἀσκητικὰ ρ'.

2. 65α Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ μεγάλου ἀσκητοῦ καὶ ἐπισκόπου Ἐδέσης Κεφάλαια ψυχωφελῆ πάνυ τὸν ἀριθμὸν ἑκατόν.

3. φ. 96α Θεοδωρίτου Κύρου πόλεως ἐκ τῶν περὶ ἀπόρων (ἐρωτήσεις ιγ').

4. φ. 118α Νικήτα μοναχοῦ καὶ πρεσβυτέρου μονῆς τοῦ Στουδίου τοῦ Στηθάτου Λόγος κατὰ πεῦσιν καὶ ἀπόκρισιν, τίς ὁ σκοπὸς τῆς τοῦ κόσμου καὶ τῶν ἐν τῷ κόσμῳ ἀποταγῆς.

5. φ. 136α Τοῦ ἁγιωτάτου καὶ σοφωτάτου πατριάρχου κυροῦ Φιλοθέου Ὁμολογία τῆς ὀρθοδόξου πίστεως.

6. φ. 155α Ἑτέρα ὁμολογία τῆς ὀρθοδόξου πίστεως.

7. φ. 162α Γρηγορίου Νύσσης περὶ τῆς ἁγίας Τριάδος.

8. φ. 163α Κεφάλαια διάφορα. Περὶ τῶν συσήμων καὶ τῆς ἡλικίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ — Περὶ τῶν ἀζύμων — Ἑρμηνεία τοῦ στίχου τοῦ « Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς — Διδασκαλία σωτήριος περὶ ὅρκου — Σύνοψις τῶν πέντε φωνῶν (γένος, εἶδος, διαφορά, ἴδιον καὶ συμβεβηκός) — Περὶ τῶν δέκα κατηγοριῶν — Ἰωάννου τοῦ Δαμασκηνοῦ περὶ τοῦ σώματος καὶ αἵματος τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ — Ἐπεξήγησις τῶν ἐν τῷ θείῳ τελουμένων λουτρῷ — Περὶ πίστεως — Περὶ ἐξόδου ψυχῆς — Περὶ Θεοῦ κριμάτων Πορφυρίου — Πρὸς τοὺς λέγοντας εἰ ἔχει ὅρον ἡ ζωὴ τοῦ ἀνθρώπου — Περὶ τῶν θείων μυστηρίων — Ὅτι εἰ γνωρίσουσιν ἀλλήλους ἐν τῷ μέλλοντι αἰῶνι οἱ δίκαιοι καὶ οἱ ἁμαρτωλοί — Κατὰ Λατίνων — Ἀπὸ τῆς ἐπιστολῆς τοῦ πάπα Ἰωάννου πρὸς τὸν ἁγιώτατον Φώτιον πατριάρχην Κ/πόλεως — Τοῦ ἁγιωτάτου μητροπολίτου Ἐφέσου ἐπιστολὴ πρὸς Σχολάριον φιλόσοφον.

9. φ. 192β Ὁμολογία τοῦ μεγάλου Χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας Κ/πόλεως τοῦ Βαλσαμῶν ἀπὸ τῆς Ἰταλίας καὶ τῆς λεγομένης ὀγδόης Συνόδου ἐπανελθὼν εἰς Κ/πολιν ἣν ὀφείλει πᾶς χριστιανὸς ἔχειν καὶ ὁμολογεῖν.

10. φ. 194α Γερμανοῦ πατριάρχου Κ/πόλεως ἀπάντησις πρὸς τοὺς ἀπὸ τοῦ πάπα σταλέντας φραιμενουρίους.

11. φ. 204α Σύνοψις τῆς ἀμωμήτου πίστεως ἣν πᾶς τῶν χριστιανῶν ὀφείλει γινώσκειν.

12. φ. 205α Σύντομος ἀπόδειξις ὅτι οὐ δεῖ ἐσθίειν τὰ ἄζυμα οὔτε μὴν νηστεύειν ἐν τοῖς Σάββασιν.

13. φ. 212α Λόγος ἀνατρεπτικὸς τοῦ Ρωμαϊκοῦ δόγματος τοῦ δεῖν γίνεσθαι λέγοντος τὴν τῶν θείων μυστηρίων προσένεξιν δι' ἀζύμων.

14. φ. 218α Πέτρου Ἀντιοχείας ἐπιστολὴ πρὸς τὸν ἐπίσκοπον Βραδένης Ἀπηλεγένσης.

15. φ. 231α Περὶ τοῦ ἀζύμου · ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ ἣν λαβοῦσα γυνὴ ἔκρυψεν.

16. φ. 232α Ἔκθεσις περὶ πίστεως τῆς ὀρθοδόξου τῆς τε ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος καὶ περὶ τῆς ἐνσάρκου οἰκονομίας καὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων τοῦ τιμίου σταυροῦ καὶ περὶ προσκυνήσεως τῶν λειψάνων καὶ περὶ τῶν ἁγίων ἑπτὰ οἰκουμενικῶν συνόδων καὶ πάσης ἐκκλησιαστικῆς παραδόσεως ἣν ὀφείλει πᾶσα ψυχὴ πιστὴ κρατεῖν καὶ ὁμολογεῖν ἄχρις ἐσχάτης ἀναπνοῆς.

17. φ. 236α Περὶ τοῦ τί ἑρμηνεύεται τὸ ὄνομα τῆς Θεοτόκου.

18. φ. 236β Διάφορα Κεφάλαια.

19. φ. 257α Τοῦ μακαρίτου Θεοδωρίτου ἐπισκόπου Κὰρ τοῦ Ἀβουκαρᾶ γενομένου πρὸς τὸν τοῦ δρόμου Ἐμέσης αἰτησάμενον ἀπόδειξιν ἀποδοθῆναι αὐτῷ ἀπὸ λογισμοῦ ὅτι ἔστι Θεός (Κατ' ἐρωταπόκρισιν. « Ἄπιστος · ἀπόδος ὦ οὗτος ὅτι ἔστι θεός — πιστός · ἅπας ἀριθμὸς ἐπιδεχόμενος προσθήκην »).

20. φ. 267α Παράδειγμα δι' οὗ ἀποδεικνύεται πῶς ὁ μολυσμὸς τῆς ἁμαρτίας τοῦ Ἀδὰμ εἰς ἅπαν τὸ ἀνθρώπινον διέβη γένος.

21. φ. 268α Ἐρώτησις Ἀράβων πρὸς τὸν αὐτὸν χριστιανόν.

22. φ. 270α Δόγμα δεικνύον εἶναι τὸν εὐλογημένον ἄρτον σῶμα Χριστοῦ.

23. φ. 287α Νικολάου Μεθώνης περὶ ἀζύμων.

24. φ. 308α Ποῖα καὶ πόσα εἰσὶν τοῦ θείου Ἠλιοῦ καὶ Ἐλισσαίου τὰ ἐν πνεύματι ἐνεργήματα.

25. φ. 310α Ἑρμηνεία εἰς τὸ « πάντες μὲν οὐ κοιμηθησόμεθα πάντες δὲ ἀλλαγησόμεθα ».

26. φ. 314α Ἀθανασίου Ἀλεξανδρείας « πέντε εἰσὶν αἱ ἐργασίαι δι' ὧν θεραπεύεται ὁ Θεός ».

27. φ. 316α Διάλογος τῶν ἁγίων Βασιλείου καὶ Γρηγορίου τοῦ Θεολόγου.

28. φ. 319α Περὶ τῶν ἁγίων εἰκόνων.

29. φ. 320α Συμεῶνος Μεσοποταμίας περὶ τοῦ ἐν νῷ ἔχειν τὴν ἔξοδον.

30. φ. 323α Νεμεσίου ἐπισκόπου περὶ προνοίας.

31. φ. 331α Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων ποῦ καὶ πότε καὶ κατὰ τίνων ἑκάστη αὐτῶν συνήχθη.

32. φ. 346α Ἐπεξήγησις τῶν ἐν τῷ θείῳ λουτρῷ τελουμένων.

## 1416. — Κ 129. Διάφορα.

Χαρτ. 21 × 17 αἰῶν. ιη' φ. 197.

1. φ. 1α Σύνταγμα κατ' αβ πασῶν τῶν ὑποθέσεων τῶν ἱερῶν καὶ θείων κανόνων καὶ τῶν νόμων ὅπου ἐκοπίασεν ὁ ἐν ἱερομονάχοις σοφώτατος καὶ λογιώτατος

κὺρ Ματθαῖος, ἐξηγήθη δὲ εἰς πεζὴν φράσιν παρὰ τοῦ Κυνάλη τοῦ Κριτοπούλου ('Από τοῦ Α-Π ὡς καὶ ἐν Κώδ. Θ 220).

2. φ. 127α Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις περὶ τοῦ φυλάττειν τὰς θείας ἐντολὰς καὶ τῆς δικαίας ἀπειλῆς τῶν ἀμελῶς διακειμένων (τῇ Κυριακῇ τοῦ Ἀσώτου (φ. 128), τῆς Ἀπόκρεω (φ. 129), τῆς Τυροφάγου (φ. 131), τῇ Τετάρτῃ, Παρασκευῇ καὶ Κυριακῇ (φ. 133).

3. φ. 134α Ἰωάννου τοῦ Δαμασκηνοῦ Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.

4. φ. 140α Ἰωάννου Χρυσοστόμου Λόγος εἰς τὴν γενέθλιον ἡμέραν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸ τούτου μὲν ἄδηλον οὖσαν, πρὸ ὀλίγων δὲ ἐτῶν γνωρισθεῖσαν παρά τινων τῶν ἀπὸ τῆς δύσεως ἐλθόντων καὶ ἀπαγγειλάντων καὶ ἡ ἀπόδειξις τοῦτον εἶναι τὸν μῆνα τῆς ἑορτῆς ἀπὸ τῶν θείων Γραφῶν καὶ πρὸς τῷ τέλει περὶ τοῦ μεθ' ἡσυχίας καὶ φρίκης προσιέναι τοῖς μυστηρίοις.

« Ἃ πάλαι πατριάρχαι ὤδινον. »

5. φ. 150α Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ Λόγος εἰς τὰ ἅγια Φῶτα.

« Ἄνδρες φιλόξενοι φιλόχριστοι καὶ φιλάδελφοι ».

6. φ. 156α Ἰωάννου Χρυσοστόμου Λόγος εἰς τὴν Ὑπαπαντήν.

7. φ. 158α Κυρίλλου Ἀλεξανδρείας Λόγος εἰς τὰ Βαΐα.

8. φ. 166α Ἐπιφανίου Κύπρου εἰς τὴν θεόσωμον ταφήν.

9. φ. 175α Ἰωάννου Χρυσοστόμου Λόγος εἰς τὴν νέαν Κυριακὴν καὶ εἰς τὸν ἅγιον ἀπόστολον Θωμᾶν.

10. φ. 181α Βασιλείου Σελευκείας Λόγος εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

11. φ. 183α Ἰωάννου Χρυσοστόμου Λόγος εἰς τὴν Πεντηκοστήν.

12. φ. 190α Τοῦ αὐτοῦ εἰς τὴν θείαν Μεταμόρφωσιν.

13. φ. 194α Ἰωάννου τοῦ Δαμασκηνοῦ Λόγος εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.

## 1417. — Κ 130. Διάφορα.

Χαρτ. 21 × 15 αἰών. ιζ' φ. 150 ἀκέφ.

1. φ. 1α Βλεμίδου φιλοσόφου Λογική.

2. φ. 93α Δαυὶδ τοῦ φιλοσόφου ἐκ τῆς ἑρμηνείας τῶν πέντε φωνῶν σχόλια.

3. φ. 94β Γεωργίου μοναχοῦ περὶ εὐπορίας προτάσεων.

4. φ. 95α Ἐκ τῆς βίβλου τοῦ Δαμασκηνοῦ πρακτικόν.

5. φ. 96α Συλλογὴ χρήσιμος διαλαμβάνουσα περὶ ἀρετῆς καὶ κακίας.

6. φ. 99α Ἐπιτομὴ τῶν διαλεκτικῶν κανόνων καὶ εἰσαγωγὴ εἰς τὴν καθόλου λογικὴν καὶ τὸ Ἀριστοτέλους ὄργανον.

7. φ. 146β Περὶ φυσικῆς · περὶ ἀρχῆς, περὶ ὕλης κλπ.

Ἐν φ. 108 β « Εἰς τοὺς αυνγ' (1453) Μαΐου κθ' ἐπάρθη ἡ Κωνσταντίνου ἐκ τῶν Ρωμαίων τῶν ἀνατολικῶν ἤγουν ἀπὸ τὰς χεῖρας Κωνσταντίνου τοῦ Παλαιολόγου καὶ ἐδόθη εἰς τὰς χεῖρας τῶν Ἀγαρηνῶν. »

## 1418. — Κ 131. Ρητορική.

Χαρτ. 21 × 15 αἰών. ιη' φ. 275.

1. φ. 1α Ρητορικὴ τοῦ Ταμοδοῦ.

2. φ. 198α Ἀριθμητικὴ (βιβλία β').

3. φ. 214α Γρηγορίου τοῦ Θεολόγου ἐπιγράμματα ἐπικήδεια εἴτε ἐπιτάφια εἰς τὸν ἅγιον μέγαν Βασίλειον διὰ στίχων ἡρωελεγείων συντεθειμένα συνταχθέντα καὶ ἑρμηνευθέντα παρὰ Νικήτα φιλοσόφου τοῦ Παφλαγόνος δύο καὶ δέκα τοῦ ἀριθμοῦ ὄντα ἅπερ ἐπάνω τοῦ τάφου τοῦ μεγάλου Βασιλείου ὁ μέγας Γρηγόριος τέθηκεν.

4. φ. 216β Στίχοι ἰαμβικοὶ τοῦ φιλοσόφου κὺρ Νικήτα τοῦ καὶ Δαυὶδ τοῦ ἑρμηνεύσαντος τὰ τετράστιχα καὶ τὰ λοιπὰ ἔπη τοῦ μεγάλου πατρὸς Γρηγορίου.

5. φ. 216β Ἀδήλου ἐγκώμιον εἰς τὸν μέγαν Γρηγόριον.

« Γρηγόριος μοῦσα πολλῷ πλέον ἤπερ Ὅμηρος. »

6. φ. 216β Γρηγορίου τοῦ Θεολόγου ἴαμβοι παραινετικοὶ μονόστιχοι κατὰ στοιχεῖον καὶ ἑρμηνεία αὐτῶν ὑπὸ τοῦ αὐτοῦ Νικήτα τοῦ καὶ Δαυίδ.

7. φ. 230α Προοίμιον τοῦ τὸ σύγγραμμα ποιησαμένου (οὗ τὸ παρὸν) προσφώνησιν ἔχον πρὸς τὸν ἀξιώσαντα ποιήσασθαι τὴν ἐξήγησιν τῶν τετραστίχων τοῦ Θεολόγου, Ἰωάννου μοναχοῦ τοῦ Ζωναρᾶ.

« Εἰς σὴν χάριν μακαριώτατε ἀδελφὲ τὸ πόνημά μου τοῦτο πεπόνηται. »

Σχόλιον Ζαχαρίου ἱερέως · « ἐκ τοῦ προοιμίου δεδήλωται ὅτι καὶ ὁ θεῖος Ζωναρᾶς τὰ τετράστιχα ταῦτα τοῦ μεγάλου πατρὸς Γρηγορίου ἡρμήνευσε · καίτοι δὲ ἡ αὐτοῦ πᾶσα ἑρμηνεία οὔ πω μοι ἐντετύχηκεν εἰ μήτι καὶ ἡ παροῦσα Νικήτα φιλοσόφου τοῦ καὶ Δαυίδ ».

« Γρηγορίου πόνος εἰμὶ » — Ἑρμηνεία τοῦ Ζωναρᾶ — « Οἱ δύο οὗτοι στίχοι ἐπίγραμμά εἰσι τοῦ πονήματος τῶν τετραστίχων ἡρωελεγεῖοι ὄντες. »

8. φ. 232α Νικήτα τοῦ καὶ Δαυὶδ δούλου Ἰησοῦ Χριστοῦ τοῦ φιλοσόφου ἑρμηνεία τῶν τετραστίχων τοῦ μεγάλου πατρὸς Γρηγορίου τοῦ Θεολόγου ἅτε τῆς ἑρμηνείας τῆς α', θ' καὶ ι' γνωμολογία ἢ ἔνια τοῦ Ζωναρᾶ.

« Πρᾶξιν προτιμήσει ἢ θεωρίαν. »

9. φ. 274α Τὰ ἑπτὰ λεγόμενα θαύματα τοῦ κόσμου.

10. φ. 274β Τὰ ἐξαίρετα τῆς νήσου Λήμνου καὶ ἕτερά τινα τὰ ὀνόματα τῶν τριῶν μάγων Μελκών, Βαλτάσαρ καὶ Γάσπαρ κλπ.

11. φ. 275α Ταρασίου πατριάρχου Κ/πόλεως χρησμός.

« Ἐν ταῖς ἐσχάταις ἡμέραις παροικήσει ὁ Μωάμεθ εἰς τὴν αὐλὴν τοῦ Βύζαντος. »

**1419. — Κ 132. Ἀκολουθία.**

Χαρτ. 21 × 15 αἰῶν. ιη' (1760) σελ. 100 + 97.

1. σ. 1 Κανόνες παρακλητικοὶ εἰς τὸν ἅγιον Γεώργιον (8) ποίημα Ἰωσήφ — Ἰδιόμελα τῆς Λιτῆς (σ. 72) — Ἀπὸ τῶν θαυμάτων τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου περὶ τοῦ Σαρακηνοῦ τοῦ θεασαμένου τὴν ὀπτασίαν ἐν τῷ ναῷ τοῦ ἁγίου — Ἕτερον περὶ τοῦ δράκοντος καὶ τῆς κόρης τοῦ βασιλέως (σ. 76).

2. σ. 1 Ἀκολουθία νεκρώσιμος μετὰ ὀκταήχου Κανόνος τοῦ Θεοφάνους.

Ἐν σ. 97 « Ἐγράφη ἡ παροῦσα νεκρώσιμος Ἀκολουθία ἐν ἔτει σωτηρίῳ αψξ (1760) κατὰ μῆνα Φεβρουάριον ».

**1420. — Κ 133. Γεροντικόν.**

Χαρτ. 20 × 13 αἰῶν. ιζ' (1666) φ. 405 ἀκέφ.

1. φ. 1α Λόγοι τοῦ ἀββᾶ Μωϋσέως τοῦ ἐν Σκήτῃ πρὸς τὸν ἀββᾶν ποιμένα προτραπέντος παρ' αὐτοῦ γράψαι.

2. φ. 344α Τοῦ ἀββᾶ Μακαρίου παραίνεσις πάνυ ὠφέλιμος.

3. φ. 347α Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαὰκ ἡ ψυχωφελὴς νουθεσία.

4. φ. 354α Τίς ἡ τῶν πειρασμῶν αἰτία καὶ ἡ ἐκ τούτων ὠφέλεια καὶ τίς ἡ διαφορά (κολοβόν).

5. φ. 355α Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου Κοσμᾶ τοῦ ἐκ τῆς μονῆς τοῦ Ζωγράφου.

6. φ. 358α Γεροντικόν.

Ἐν τέλει · « Ἔτει αχξς' (1666) τῆς ἐνσάρκου οἰκονομίας τὸ παρὸν βιβλίον Μαρτίου β' γέγραφαι διὰ χειρὸς οἰκτροῦ ἐλαχίστου Δανιὴλ ἱερομονάχου ».

**1421. — Κ 134. Στιχηράριον.**

Χαρτ. 16 × 10 αἰῶν. ιη' (1780) φ. 537.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν Στιχηρῶν τῶν Καλλοφωνικῶν τοῦ ὅλου ἐνιαυτοῦ · ἐποιήθησαν μὲν παρὰ διαφόρων ποιητῶν παλαιῶν τε καὶ νέων ἐκαλλωπίσθησαν δὲ παρὰ τοῦ Μαΐστρου Κουκουζέλους.

Ἐν τέλει · « Ἐτελειώθη τὸ παρὸν Μαθηματάρι τῶν τριῶν μηνῶν (Σεπτεμβρίου, Ὀκτωβρίου, Νοεμβρίου) διὰ χειρὸς ἐμοῦ Σεραφεὶμ προηγουμένου Λαύρας τοῦ ἐκ νήσου Μιτυλήνης εἰς τοὺς 1780 κατὰ μῆνα Ἀπρίλιον καὶ οἱ ἀναγινώσκοντες καὶ ψάλλοντες εὔχεσθε ὑπὲρ ἐμοῦ τοῦ ἀμαθοῦς συγγραφέως ταύτης τῆς μουσικῆς ἵνα μὲ ἀξιώσῃ ὁ Κύριος τῷ τρισαθλίῳ καὶ τάλανι τῆς βασιλείας αὐτοῦ ἀμήν · αψπ' (1780) Ἀπριλίου ιε' ».

**1422. — Κ 135. Τριῴδιον.**

Χαρτ. 16 × 10 αἰῶν. ιη' (1720) φ. 349.

1. Τὸ Τριῴδιον περιέχον τὴν πρέπουσαν Ἀκολουθίαν τῆς ἁγίας τεσσαρακοστῆς ποίημα κὺρ Γερμανοῦ ἀρχιερέως νέων Πατρῶν.

2. φ. 265α Ἀρχὴ σὺν Θεῷ τοῦ Πεντηκοσταρίου ποίημα κὺρ Γερμανοῦ ἀρχιερέως νέων Πατρῶν.

Ἐν τέλει τοῦ Τριωδίου · « Ἐτελειώθη τὸ παρὸν Τριῴδιον διὰ χειρὸς κἀμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀμαθοῦς Κωνσταντίνου τοῦ Βουτηρᾶ Καλλιπολίτου αψκε' (1725) Νοεμβρίου κη' ».

Ἐν ἀρχῇ · « Ἠγόρασα τοῦτο ἐν τῇ Καλλιπόλει γρόσια δώδεκα ἐν ἔτει αψοε (1775) εὐτελὴς προηγούμενος Λαύρας Κύριλλος ».

**1423. — Κ 136. Δοξαστάριον.**

Χαρτ. 16 × 11 αἰῶν. ιη' φ. 172.

Δοξαστικὰ τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν καὶ τῶν λοιπῶν ἑορταζομένων ἁγίων καί τινα Ἰδιόμελα τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου συντεθέντα κατὰ συντομώτερον τρόπον ἐκθέσεων Στιχηρῶν τε καὶ εἱρμολογικῶν παρὰ τοῦ μουσικολογιωτάτου ἡμετέρου διδασκάλου κυρίου Ἰακώβου καὶ πρωτοψάλτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας.

Ἐν τέλει · « Διὰ χειρὸς Σωφρονίου προηγουμένου Λαύρας ».

**1424. — Κ 137. Εἱρμοὶ καλοφωνικοί.**

Χαρτ. 17 × 11 αἰῶν. ιη' (1787) φ. 160.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ καὶ τῶν καλλοφωνικῶν Εἱρμῶν ποιηθέντων παρὰ διαφόρων ποιητῶν.

Ἐν τέλει · Ἐτελειώθη ὁ παρὼν πέμπτος τόμος τῆς Παπαδικῆς ὅπου περιέχει τοὺς Εἱρμοὺς τοὺς καλλοφωνικοὺς καὶ μερικὸν Κρατηματάρι νάϊα λεγόμενα παλαιὰ καὶ νέα διὰ χειρὸς ἐμοῦ Σεραφεὶμ προηγουμένου τῆς μεγίστης Λαύρας καὶ Μιτυληναίου καὶ οἱ ἀναγινώσκοντες καὶ μανθάνοντες καὶ ψάλλοντες εὔχεσθε ὑπὲρ ἐμοῦ τοῦ ἀναξίου καὶ ἀμαθοῦς ταύτης τῆς μουσικῆς τοῦ κοπιάσαντος καὶ συνάξαντος ταῦτα πάντα παλαιά τε καὶ νέα ὅπως με ἐλεήσῃ ὁ Κύριος τῷ τρισαθλίῳ καὶ τάλανι · εἰς τοὺς χιλίους ἑπτακοσίους ὀγδοήκοντα ἑπτὰ κατὰ μῆνα Μάρτιον Ἰνδ. ε' ».

**1425. — Κ 138. Μουσικόν.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 57 ἀκέφ. κολοβ.

Περιέχει τὰ συλλειτουργικά.

**1426. — Κ 139. Μουσικόν.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 52 ἀκέφ. κολοβ.

Περιέχει Χερουβικά, Κοινωνικὰ καὶ τὴν θείαν λειτουργίαν τοῦ Χρυσοστόμου.

**1427. — K 140. Στιχηράριον.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 130 ἀκεφ.

Στιχηράριον ἀρχόμενον ἀπὸ Ἀπριλίου κγ' τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου.

Ἐν τέλει·
« Ἱδρῶτι πολλῷ καὶ πόνῳ πεπονθότως
μόλις ἐφευρεῖν ἠδυνήθημεν τέλος
Μεταγιτνιῶν ἐν τριακοστῇ πρώτῃ ».

**1428. — K 141. Στιχηράριον.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 118 ἀκέφ. κολοβ.

Στιχηράριον (ἀρχόμενον ἀπὸ τῆς η' Σεπτεμβρίου).

**1429. — K 142. Ἀνθολογία.**

Χαρτ. 14 × 10 αἰῶν. ιθ (1824) φ. 188 κολοβ.

Ἀνθολογία περιέχουσα μερικὰ Χερουβικὰ καὶ Κοινωνικὰ καὶ ἄλλα τῆς Ἀκολουθίας τοῦ ὄρθρου συντεθεῖσα παρ' ἐμοῦ τοῦ Μιχαὴλ Φιλίππου Θεσσαλονικέως 1824 Ἰανουαρίου 27.

(Περιέχει καὶ Δοξολογίας Συνεσίου Ἰβηρίτου).

**1430. — K 143. Ἐγκόλπιον μουσικόν.**

Χαρτ. 15 × 9 αἰῶν. ιη' φ. 73 ἀκέφ. κολοβ.

Ἐγκόλπιον ἑσπερινοῦ καὶ ὄρθρου.

**1431. — K 144. Ἀνθολογία.**

Χαρτ. 14 × 10 αἰῶν. ιη' φ. 138.

1. φ. 1α Ἀνθολογία ἑσπερινοῦ ὄρθρου καὶ λειτουργίας.

2. φ. 67α Καταβασίαι διαφόρων ἑορτῶν καὶ τῆς μεγάλης Ἑβδομάδος.

**1432. — K 145. Ἀνθολογία.**

Χαρτ. 16 × 11 αἰῶν. ιη' φ. 123 ἀκέφ. κολοβ.

Ἀκολουθία τοῦ ἑσπερινοῦ, ὄρθρου καὶ λειτουργίας.

**1433. — K 146. Ἀνθολογία.**

Χαρτ. 14 × 10 αἰῶν. ιη' φ. 259 ἀκέφ. κολοβ.

Περιέχει διάφορα τοῦ ἑσπερινοῦ ὄρθρου καὶ λειτουργίας καὶ Μαθηματάριον.

**1434. — K 147. Μουσικὸν ἐγκόλπιον.**

Χαρτ. 16 × 10 αἰῶν. ιη' φ. 242 κολοβ.

Ἐγκόλπιον ἑσπερινοῦ καὶ ὄρθρου.

**1435. — K 148. Τριῴδιον.**

Χαρτ. 16 × 11 αἰῶν. ιη' φ. 274.

Τριῴδιον σὺν Θεῷ ἁγίῳ περιέχον τά τε Προσόμοια καὶ Ἰδιόμελα τῆς μεγάλης τεσσαρακοστῆς.

**1436. — K 149. Ἀνθολογία.**

Χαρτ. 16 × 10 αἰῶν. ιη' φ. 63.

Χερουβικὰ τῆς ἑβδομάδος, λειτουργία τοῦ μεγάλου Βασιλείου εἱρμοὶ καλοφωνικοὶ καὶ ἄλλα.

**1437. — K 150. Ἐγκόλπιον.**

Χαρτ. 17 × 10 αἰῶν. ιη' φ. 155 ἀκέφ. κολοβ

Ἐγκόλπιον τῆς θείας λειτουργίας.

**1438. — K 151. Ἀνθολογία.**

Χαρτ. 14 × 10 αἰῶν. ιη' φ. 109 ἀκέφ. κολοβ.

Ἀνθολογία ἑσπερινοῦ, ὄρθρου καὶ λειτουργίας.

**1439. — K 152. Ἐγκόλπιον.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 136.

Ἐγκόλπιον ἑσπερινοῦ καὶ λειτουργίας.

**1440. — K 153. Ἀνθολογία.**

Χαρτ. 15 × 9 αἰῶν. ιη' σελ. 271.

Ἀρχὴ σὺν Θεῷ τῶν σημαδίων τῆς ψαλτικῆς τέχνης τῶν τε ἀνιόντων καὶ κατιόντων σωμάτων τε καὶ πνευμάτων μετὰ πάσης χειρονομίας καὶ ἀκολουθίας συντεθειμένης παρὰ τῶν κατὰ καιροὺς ἀναδειχθέντων ποιητῶν παλαιῶν τε καὶ νέων.

**1441. — K 154. Ψαλτική.**

Χαρτ. 16 × 10 αἰῶν. ιη' φ. 124.

Ὅμοιος τῷ ανωτέρω.

Ἐν τέλει· « Ἡ παροῦσα αὕτη ψαλτικὴ ὑπάρχει κἀμοῦ Καλλινίκου θύτου ἐκ τῆς ἱερᾶς καὶ βασιλικῆς μονῆς Λαύρας καὶ μοῦ τὴν ἔδωσεν ὁ Γέροντάς μου ὁ προηγούμενος παπᾶ κὺρ Τρύφων ».

**1442. — K 155. Ἐγκόλπιον.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 166 ἀκέφ. κολοβ.

Ἐγκόλπιον ὄρθρου καὶ λειτουργίας.

**1443. — K 156. Ἐγκόλπιον.**

Χαρτ 15 × 9 αἰῶν. ιζ' φ. 112.

Ἐγκόλπιον ὄρθρου καὶ ἑσπερινοῦ · καὶ Ἀναστασιματάριον.

Ἐν ἀρχῇ · « Καὶ τοῦτο κτῆμα τῆς ἐν τῷ Καυψακαλυβίῳ μονῆς τοῦ τιμίου Προδρόμου τοῦ πνευματικοῦ κὺρ Τιμοθέου ».

**1444. — K 157. Μουσικόν.**

Χαρτ. 15 × 10 αἰῶν. ιζ' φ. 66 ἀκέφ. κολοβ.

Περὶ τῶν σημαδίων τῆς ψαλτικῆς τέχνης.

**1445. — K 158. Εἱρμολόγιον.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 137.

Ἀρχὴ σὺν Θεῷ τοῦ Εἱρμολογίου τοῦ ὅλου ἐνιαυτοῦ · ἐκαλλωπίσθη δὲ μικρὸν παρὰ τοῦ ἐν μοναχοῖς εὐτελοῦς Ἰωάσαφ τοῦ νέου Κουκουζέλους.

Ἐν τέλει · « Θεοῦ τὸ δῶρον καὶ Θεοκλήτου πόνος. » Ἐν φ. 137 β · Ἑρμηνεία περὶ τῆς ἐρωτίας τὸ βότανον · ἔχει μὲν κορυφὰς ζ' · ἡ ρίζα α' · μονόβολι · τὰ ἄνθη αὐτῆς κίτρινα · τὸ μὲν βότανον αὐτὸ εἶναι χρήσιμον εἰς παντοίαν ἀγάπην καὶ νὰ τὸ εὐγάλῃ τις ἀνήμερα τοῦ Εὐαγγελισμοῦ, οὐχὶ δὲ ἄλλη ἡμέρα διὰ νὰ μὴ χαθῇ ἀπὸ τὰ θηρία · πλὴν ὅλην τὴν ἡμέραν τοῦ Εὐαγγελισμοῦ εἶνε ἐλεύθερον τὸ βότανον αὐτὸ καὶ ὅστις τὸ βαστάει ἀγαπᾶται ὑπὸ πάντων ».

**1446. — K 159. Μαθήματα Καλοφωνικά.**

Χαρτ. 15 × 10 αἰῶν. ιζ' φ. 250 ἀκέφ. κολοβ.

Ἀρχὴ σὺν Θεῷ τῶν καλλοφωνικῶν μαθημάτων τῶν δεσποτικῶν ἑορτῶν καὶ τῶν δοξαζομένων ἁγίων καὶ ἕτερα διάφορα ποιήματα διαφόρων ποιητῶν παλαιῶν τε καὶ νέων (Ἀναγραμματισμοί, ἀναποδισμοὶ κλπ).

**1447. — K 160. Στιχηράριον.**

Χαρτ 15 × 10 αἰῶν. ιη' φ. 122.

Στιχηράριον (ἀρχόμενον ἀπὸ τῆς θ' Μαρτίου).

**1448. — K 161. Λειτουργίαι.**

Χαρτ. 19 × 13 αἰῶν. ιζ' φ. 74 ἀκέφ. κολοβ.

Ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου, μεγάλου Βασιλείου καὶ τῶν προηγιασμένων.

**1449. — K 162. Στιχηραρικόν.**

Χαρτ. 15 × 10 αἰῶν. ιζ' φ. 116.

Στιχηραρικόν. Ἀρχὴ σὺν Θεῷ τῶν ὡρῶν τῆς Χριστοῦ γεννήσεως.

**1450. — K 163. Μουσικόν.**

Χαρτ. 15 × 10 αἰῶν. ιζ' φ. 70 ἀκέφ. κολοβ.

Περιέχει τὰ τοῦ ὄρθρου καὶ τῆς λειτουργίας.

**1451. — K 164. Ἀνθολογία.**

Χαρτ. 16 × 10 αἰῶν. ιζ' φ. 285 ἀκέφ. κολοβ.

Ἀνθολογία ἑσπερινοῦ, ὄρθρου καὶ λειτουργίας — Ἠχήματα κατ' ἦχον ποίημα Ἰωάσαφ τοῦ νέου Κουκουζέλη (φ. 201) — Δοχαὶ αἵ ψάλλονται τῇ ἁγίᾳ ἑβδομάδι τῆς Διακαινησίμου καὶ εἰς ἑτέρας δεσποτικὰς ἑορτάς (φ. 217) — Προσόμοια κατ' ἦχον μελισθέντα παρὰ κυροῦ Ἰωάσαφ τοῦ νέου Κουκουζέλη (φ. 233).

**1452. — K 165. Μαθηματάριον.**

Χαρτ 15 × 10 αἰῶν. ιζ' φ. 105 ἀκέφ. κολοβ.

Μαθηματάριον.

Ἐν τέλει ἐρώτησις · « τίνος χάριν στέφανοι ταῖς κεφαλαῖς τῶν συζευγνυμένων εἰς γάμου κοινωνίαν ἐπιτίθενται ».

**1453. — K 166. Μουσικόν.**

Χαρτ. 14 × 10 αἰῶν. ιζ' φ. 150 ἀκέφ. κολοβ.

Μαθήματα ἑσπερινοῦ καὶ ὄρθρου.

**1454. — K 167. Μουσικόν.**

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 457.

Περιέχει τὰ τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου Ἰδιόμελα.

**1455. — K 168. Ἀνθολογία.**

Χαρτ. 22 × 15 αἰῶν. ιη' (1777) φ. 599.

Ἀνθολογία ἑσπερινοῦ ὄρθρου καὶ λειτουργίας — Στιχηράριον καὶ Μαθηματάριον.

Ἐν τέλει · « Εἴληφε τέρμα ἡ παροῦσα κατὰ τὸ αψοζ (1777) ἔτος τὸ σωτήριον ἐν μηνὶ Φεβρουαρίῳ κα' γραφεῖσα παρ' ἐμοῦ τοῦ ταπεινοῦ Ζαφείρη ψάλτου ἐξ Ἰωαννίνων ».

**1456. — Κ 169. Στιχηράριον.**

Χαρτ. 22 × 15 αἰῶν. ιη' (1718) φ. 438.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ Στιχηράριον καλόφωνον περιέχον πᾶσαν τὴν Ἀκολουθίαν τῶν Τροπαρίων τοῦ ὅλου ἐνιαυτοῦ κατὰ τάξιν συντεθεῖσαν εἰς νέον καλλωπισμὸν παρὰ Κυρίου κὺρ Χρυσάφου τοῦ νέου καὶ Πρωτοψάλτου.

Ἐν τέλει · « Εἴληφε τέρμα ἡ παροῦσα ἀσματομελιρρυτόφθογγος βίβλος ἐν ἔτει αψιη' (1718) ἐν μηνὶ Ἰουλίῳ ιη'.
Ὥσπερ ξένοι χαίρονται ἰδεῖν πατρίδα κτλ.

Ὦ Χριστέ μου πρὶν γηράσω
δὸς μου νοῦν νὰ σὲ δοξάσω
δός μου καὶ ἀπὸ τὰ καλά σου
νὰ ὑμνῶ τὸ ὄνομά σου
Φύλαξον Χριστὲ τὸν ταῦτα γεγραφότα
καὶ κατάταξον εἰς ἀπόλαυσιν ζῶσαν · Ἀμήν.

Ὅσοι δὲ τῶν εὐσεβῶν ἐντυγχάνοντες τῷ μικρῷ ποιήματι τούτῳ μέμνησθε διὰ τὸν Κύριον ὅπως ἕξωμεν τὸν μισθὸν ἅμα καὶ ἀξιωθείημεν τῆς αἰωνίου ζωῆς καὶ βασιλείας ἀμήν ».

**1457. — Κ 170. Στιχηράριον.**

Χαρτ. 24 × 16 αἰῶν. ιζ' φ. 201.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ Στιχηράριον καλόφωνον περιέχον πᾶσαν τὴν Ἀκολουθίαν τῶν Τροπαρίων τοῦ ὅλου ἐνιαυτοῦ κατὰ τάξιν συντεθεῖσαν εἰς νέον καλλωπισμὸν παρὰ κυροῦ Χρυσάφη καὶ πρωτοψάλτου τᾶς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας.

Ἐν φ. 180 α Εἰκόνες δύο Καλῆς τέχνης, τῆς Γεννήσεως τοῦ Χριστοῦ καὶ τοῦ Δαυίδ.
Ἐν τέλει · « Ἐγράφη τὸ παρὸν διὰ χειρὸς κάμοῦ τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις Ἀνατολίου ».

**1458. — Κ 171. Στιχηράριον.**

Χαρτ. 20 × 14 αἰῶν. ιη'.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ Στιχηράριον καλόφωνον περιέχον πᾶσαν τὴν Ἀκολουθίαν τῶν Τροπαρίων.

Ἐν τέλει ·

« Στρατιώτης τὰ φουσάτα
κυνηγὸς βουνὰ λαγκάδια
ψαρᾶς δίκτυα παραγάδια
εἰς τὸν ὕπνον του θεωρεῖ ·
ἔτσι ὁμοίως καὶ ἐγὼ
ὁ θλιμένος θωρῶ
ἐκείνη ὅπου στενάζω
καὶ ὅπου καθ' ἡμέρα κράζω
κ' ὅπου πάντα ἐπιθυμῶ. »

**1459. — Κ 172. Πανδέκτη.**

Χαρτ. 21 × 15 αἰῶν. ιη' φ. 512.

Σημάδια τῆς μουσικῆς κατὰ τάξιν μετὰ τῶν ἠχημάτων αὐτῶν ὡραιότατα. Τεχνολογία Ἰωάννου τοῦ Πλουσίου. Μαθήματα ἑσπερινοῦ καὶ ὄρθρου. Κρατήματα · Μαθήματα καὶ Θεοτοκία διαφόρων διδασκάλων.

**1460. — Κ 173. Μαθηματάριον.**

Χαρτ. 25 × 17 αἰῶν. ιζ' φ. 574 ἀκέφ. κολοβ.

Μαθηματάριον, Ἀναγραμματισμοί, εἱρμοὶ Καλοφωνικοὶ (ἰδίως Πέτρου Μπερεκέτη).

**1461. — Κ 174. Στιχήραριον.**

Χαρτ. 20 × 14 αἰῶν. ιη' φ. 327.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Στιχηραρίου καλωπισθὲν νεωστὶ παρὰ τοῦ ἁγιωτάτου λογιωτάτου καὶ μουσικωτάτου [Γερμανοῦ] ἀρχιερέως νέων Πατρῶν.

**1462. — Κ 175. Στιχηράριον.**

Χαρτ. 21 × 14 αἰῶν. ις' (1560) φ. 411.

1. φ. 1α Ἰωάννου τοῦ Δαμασκηνοῦ ἐρωταποκρίσεις τῆς παπαδικῆς τέχνης · περὶ σημαδίων καὶ τόνων καὶ φωνῶν καὶ πνευμάτων καὶ κρατημάτων καὶ παραλαγῶν καὶ ὅσα ἐν τῇ παπαδικῇ τέχνῃ διαλαμβάνουσιν.
2. φ. 33α Στιχηράριον τοῦ ὅλου ἐνιαυτοῦ ποιήματα τοῦ κὺρ Μανουὴλ τοῦ Χρυσάφη.

Ἐν ἀρχῇ « ἔτος ζξη' (1560).
Ἀφιερώθη τὸ παρὸν ψαλτικὸν τὸ λεγόμενον Μαθηματάρι εἰς τὴν ἁγίαν καὶ σεβασμίαν ἱερὰν ἡμῶν Λαύραν ὑπὸ τοῦ ὁσιωτάτου ἐν μοναχοῖς καὶ ἐν Χριστῷ ἡμετέρου ἀδελφοῦ καὶ γέροντος κὺρ Γρηγορίου μοναχοῦ τοῦ Κυπρέου ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας ».
Ἐν τέλει ·
« Ἐνθάδ' ἐμοῖς καμάτησι τέλος θεὸς δῶκεν ἄελπτον ·
εὔχεό μοι δολιχὸν βιοτὴν ὅ τις ἂν κύρῃς
πάσης ἀμπλακίης ὑπέρτερον ἠδ' ἀνομίης ».

**1463. — Κ 176. Ἀνθολογία.**

Χαρτ. 20 × 12 αἰῶν. ιζ' φ. 449.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῆς Ἀνθολογίας περιέχων ἅπαντα τὰ τοῦ ἐνιαυτοῦ χρεώδη παρὰ διαφόρων καὶ τῶν κατὰ καιροὺς ἀναδειχθέντων ποιητῶν.

Ἐν ἀρχῇ · « Καὶ τόδε σὺν τοῖς ἄλλοις ὑπάρχει κάμοῦ Ἀντωνίου μοναχοῦ τοῦ νέου μουσικοῦ εὑρισκομένου εἰς τὴν Σκήτην τῆς ἁγίας Θεοπρομήτορος Ἄννης ».

**1464. — Κ 177. Ἀνθολόγιον.**

Χαρτ. 21 × 13 αἰῶν. ιζ' (1630) φ. 431 κολοβ.

1. φ. 1α Στίχοι κατὰ ᾱβ.
« Ἀδέκαστον κριτήριον κριτὴς δικαιοκρίτης.
Βῆμα φρικτὸν καὶ φοβερὸν ἡμᾶς ψυχή μου μένει. »

2. Ἀκολουθίαι τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ πάντων τῶν δοξολογουμένων ἁγίων μετὰ καὶ τῶν ἀναγνωσμάτων αὐτῶν.

Ἐν φ. υγ' « Τὸ παρὸν Ἀνθολόγιον ἐγράφη διὰ χειρὸς τοῦ ἐν πνευματικοῖς ἐλαχίστου Ματθαίου καὶ ὑπάρχει κτῆμα τοῦ ἐν πνευματικοῖς κὺρ Ἰακώβου καὶ ἐκκλησιάρχου ἁγίας Λαύρας ζρλη' (1630) ἐν μηνὶ Φεβρουαρίῳ ια' ».

## 1465. — Κ 178. Πέτρου Μπερεκέτη.

Χαρτ. 25 × 18 αἰῶν. ιζ' φ. 185.

1. φ. 1α Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ποιημάτων ἁπάντων τοῦ μουσικωτάτου Πέτρου Εὐτυχέους τοῦ Κωνσταντινουπολίτου, ὅστις τουρκιστὶ ὀνομάζεται Μπερεκέτης.

2. φ. 172α Ἕτεροι Εἱρμοὶ ποιηθέντες παρὰ διαφόρων ποιητῶν.

## 1466. — Κ 179. Στιχηράριον.

Χαρτ. 23 × 16 αἰῶν. ιθ' (1810) φ. 264.

1. φ. 1α Σύνοψις μικρὰ τῶν ἀναγκαιοτέρων ἀναστασίμων Τροπαρίων ἐπ' ἀγρυπνίᾳ ψαλλομένων μετὰ καὶ τῶν δογματικῶν καὶ ἑωθινῶν καὶ ἑτέρων ἑωθινῶν.

2. φ. 26α Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν κατὰ σύνοψιν Στιχηρῶν Ἰδιομέλων καὶ αὐτομέλων Δοξαστικῶν τοῦ ὅλου ἐνιαυτοῦ ἑκάστης ἑορτῆς καὶ ἁγίων τοῦ Στιχηραρίου κυρίου Γερμανοῦ ἀρχιερέως νέων Πατρῶν.

Ἐν φ. 259 β

« Ἔργον χειρὸς ἧ δ' ἡ παροῦσα τελέθη
ἀνδρὸς ἀγύρτ' ἁμαρτωλοῦ καὶ θύτου
οὗ ἡ κλῆσις εὔδηλος τῷ πάντ' εἰδότι.

Ἡ παροῦσα ἀσματόφθογγος βίβλος γέγραπται κατὰ τὸ αωι' (1810) ἔτος διὰ ἐξόδου τοῦ ὁσιωτάτου ἐν μοναχοῖς γέροντος κυροῦ Ἰωάννου. . .

Μὲ εὐχὴν καὶ εὐλογίαν τῆς ἁγίας Ἄννης ἀφιεροῦμεν τὴν παροῦσαν μουσικὴν εἰς τὸ ἱερόν μας μοναστήριον Λαύραν μὲ κοινὴν γνώμην ὅλων τῶν πατέρων τῆς Σκήτεως 1846 Ἀπριλίου 18 ».

## 1467. — Κ 180. Στιχηράριον.

Χαρτ. 23 × 16 αἰῶν. ιη' φ. 307.

1. φ. 1α Ἀρχὴ σὺν Θεῷ ἁγίῳ Στιχηράριον καλλοφωνικὸν ποιηθὲν παρὰ κυρίου Γερμανοῦ ἀρχιερέως νέων Πατρῶν.

2. φ. 275α Ἀρχὴ σὺν Θεῷ ἁγίῳ καὶ τῶν Στιχηρῶν τοῦ Τριῳδίου.

## 1468. — Κ 181. Στιχηράριον.

Χαρτ. 23 × 17 αἰῶν. ιη' φ. 414.

1. Στιχηράριον σὺν Θεῷ ἁγίῳ περιέχον ὅλα τὰ Ἰδιόμελα τοῦ ὅλου ἐνιαυτοῦ καλλωπισθὲν δὲ παρὰ Γερμανοῦ ἀρχιερέως νέων Πατρῶν.

2. φ. 269α Στιχηράριον τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου.

## 1469. — Κ 182. Κοντάκια.

Χαρτ. 23 × 14 αἰῶν. ιδ' (1320) φ. 241.

Ἀρχὴ σὺν Θεῷ τῶν Κοντακίων ὅλου τοῦ χρόνου σὺν τοῖς Ἐξαποστειλαρίοις.

Ἐν τέλει · « Ἐγεγράφη ἔτει ϛωκη' (1320) ἰνδ. γ' ».

## 1470. — Κ 183. Στιχηράριον.

Χαρτ. 20 × 14 αἰῶν. ιη' (1775) φ. 449.

1. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ Στιχηράριον καλλοφωνικὸν ποιηθὲν παρὰ τοῦ κὺρ Γερμανοῦ ἀρχιερέως νέων Πατρῶν.

2. φ. 295α Στιχηράριον Τριῳδίου καὶ Πεντηκοσταρίου.

Ἐν φ. 446 β « Εἴληφε τέλος ἡ παροῦσα ἀσματομελιριτόφθογγος βίβλος ἐν ἔτει 1775 · ἐγράφη δὲ διὰ χειρὸς ἐμοῦ τοῦ εὐτελοῦς τε καὶ ἀμαθοῦς Κανέλου τοῦ πίκλην Καλενοπούλου ἐκ τῆς περιφήμου νήσου Πελοποννήσου ἐκ χώρας Καρύτενας · ὅσοι δὲ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων ἐντυγχάνοντες πεφύκατε τὴν βίβλον ταύτην μέμνησθε κἀμοῦ τοῦ ἁμαρτωλοῦ τοῦ γράψαντος διὰ τὸν Κύριον ὅπως ἔξωμεν ἅμα τὸν μισθὸν ἐκ Θεοῦ μυριοπλάσιον καὶ ἀξιωθείημεν τῆς ἐκ δεξιῶν αὐτοῦ παραστάσεως · ἀμήν · ἀμήν · ἀμήν · γένοιτο · γένοιτο · γένοιτο. Τὴν ἄφεσιν ὧν ἔπραξα τῶν ἐγκλημάτων δός μοι.

Ἡ μὲν χεὶρ ἡ γράψασα σήπεται τάφῳ
ἡ δὲ γραφὴ μένει μέχρι τερμάτων.

Ἐγράφη δὲ ἐν τῇ περιφήμῳ νήσῳ Μιτυλήνῃ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει ἐπὶ τῆς ἀρχιερατείας τοῦ πανιερωτάτου ἁγίου δεσπότου καὶ αὐθέντου ἡμῶν κυρίου Γερασίμου καὶ ἐτελειώθη εἰς τὰς κζ' Ἰουνίου ἡμέρᾳ Σαββάτῳ ».

## 1471. — Κ 184. Πέτρου Μπερεκέτου.

Χαρτ. 22 × 16 αἰῶν. ιη' φ. 175.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ποιημάτων κὺρ Πέτρου μελῳδοῦ τοῦ Βυζαντιάνου τοῦ ἐπιλεγομένου Μπερεκέτη.

Ἐν ἀρχῇ · « Καὶ τόδε σὺν τοῖς ἄλλοις κτῆμα ἐμοῦ Νεοφύτου Ἰμβρίου ».

## 1472. — Κ 185. Πέτρου Μπερεκέτη.

Χαρτ. 21 × 14 αἰῶν. ιη' φ. 147.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ παπαδικοῦ μέλους. Πολυέλεος κὺρ Πέτρου Βυζαντίου τοῦ Μπερεκέτη. Μαθήματα ὄρθρου καὶ λειτουργίας.

**1473.** — K 186. **Ἰωάννου Λαμπαδαρίου.**

Χαρτ. 21 × 15 αἰῶν. ιζ' (1693) φ. 68.

Οἶκοι κδ' ποίημα κὺρ Ἰωάννου Λαμπαδαρίου τοῦ Κλαδᾶ.

Ἐν τέλει · « Ἔλαβε τέλος εἰς τοὺς 1693 καὶ οἱ ψάλλοντες εὔχεσθε.
Καὶ τόδε σὺν τοῖς ἄλλοις Δημητρίου Παπάζογλου ἐκ τῆς Εὐρίππου. »

**1474.** — K 187. **Δοξαστάριον.**

Χαρτ. 20 × 14 αἰῶν. ιη' φ. 141.

Δοξαστικὰ τοῦ ἑσπερινοῦ, ἀποστίχου τε καὶ Αἴνων τοῦ ὅλου ἐνιαυτοῦ, ἤτοι τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ ἑορταζομένων ἁγίων καὶ τοῦ Τριωδίου καὶ Πεντηκοσταρίου ἅτινα συνετέθησαν ἐκκλησιαστικῶς παρὰ τοῦ Λαμπαδαρίου Πέτρου τοῦ Πελοποννησίου.

**1475.** — K 188. **Πανδέκτη.**

Χαρτ. 21 × 16 αἰῶν. ιζ' φ. 750.

1. Σημάδια ψαλλόμενα κατ' ἦχον συντεθέντα ἐντέχνως παρὰ τοῦ μαΐστορος κυρίου Ἰωάννου τοῦ Κουκουζέλη.
2. Μέθοδος τῆς μετροφωνίας Γρηγορίου Μπούνη.
3. Ἑτέρα μέθοδος τῆς καλοφωνίας — Μεθοδικὴ παραλλαγὴ Ἰωάννου ἱερέως — Ἕτερα διάφορα καὶ ἀρχὴ τῆς μετροφωνίας — Τροπαὶ διὰ τῶν θέσεων ὀκτάηχος — Μέθοδος πανθαύμαστος κυρίου Ξένου τοῦ Κορώνη — Ἑτέρα μέθοδος τοῦ αὐτοῦ λίαν ἐπωφελής — Ἑτέρα μέθοδος τῶν νεανισμάτων καὶ τερεουτισμάτων τοῦ αὐτοῦ.
4. Ἀρχὴ τοῦ μεγάλου ἑσπερινοῦ διαφόρων ποιητῶν — Ἕτερα τριαδικά — αὖθις ἕτερα μετακαλωπισμένα — Μακάριος ἀνὴρ διαφόρων ποιητῶν — Τὸ ἵνα τί ἐφρύαξαν ὁμοίως — Κύριε τί ἐπληθύνθησαν ὡσαύτως — Ἕτερα σύντομα ἐκ τοῦ β' καὶ τοῦ γ' ψαλμοῦ κυρίου Γενναδίου — Ἕτεροι στίχοι ἔντεχνοι ἐκ τοῦ β' ψαλμοῦ διαφόρων ποιητῶν — Ἕτεροι στίχοι ἐκ τοῦ ε' ψαλμοῦ τοῦ Πέτρου — Ἕτερος στίχος τοῦ Μανουὴλ μετὰ τὴν ἅλωσιν τῆς Κ/πόλεως.
5. Κεκραγάρια μεγάλα παλαιά — Ἕτερα ἁγιορείτικα — Ἕτερα τοῦ Βλασίου — Προκείμενα διάφορα ἔντεχνα καὶ ἁπλᾶ — Ἕτερα ἐπιφωνήματα διάφορα — Εἰς τὴν ἀρτοκλασίαν Θεοτόκε παρθένε — Ἕτερα προκείμενα τοῦ Δανιὴλ τῆς ὅλης ἑβδομάδος.
6. Ἀρχὴ τοῦ ὄρθρου · τὸ Θεὸς Κύριος τῶν τε ἁπλῶν καὶ τῶν ἐντέχνων μετὰ τοῦ ἀναστασίμου τροπαρίου — Πολυέλεος τοῦ Κουκουμᾶ, Πολυέλεος λεγόμενος Λατρινός — Ἕτερος τοῦ Μανουήλ — Ἕτερος τοῦ νέου Χρυσάφου, τοῦ Βλασίου, τοῦ Πέτρου, Ἀρσενίου Κυδωνιέως — Εἰς τὰς ἑορτὰς τῆς Θεοτόκου διαφόρων ποιητῶν — Ἕτερα τοῦ Πέτρου — Τοῦ αὐτοῦ τὸ « Θεοτόκε παρθένε » ὀκτάηχον — Ἕτερα Ἀντίφωνα τῆς Κυριακῆς τῆς Τυροφάγου — Ἕτερα εἰς ἱεράρχας καὶ μάρτυρας — Πασαπνοάρια κατ' ἦχον — Καθεῖλε δυνάστας τοῦ Παλασίου, τοῦ Πέτρου — Τιμιωτέρα ὀκτάηχος τοῦ Κωνσταντίνου — Ἑτέρα τοῦ Δαμιανοῦ — Τὰ ια' ἑωθινά — Δοξολογίαι λγ' — Τρισάγια σύντομα κατ' ἦχον τοῦ Πέτρου η' —
7. Ἀρχὴ τῆς θείας καὶ ἱερᾶς λειτουργίας, τοῦ Χρυσοστόμου, τῶν προηγιασμένων καὶ τοῦ μεγάλου Βασιλείου — (Μεταξὺ τῶν ποικίλων μαθημάτων εὕρηται καὶ τὸ « πιστεύω εἰς ἕνα Θεόν » μελοποιημένον).
8. Ἀρχὴ καὶ τῶν ποικίλων μαθημάτων συντεθέντα ὑπὸ διαφόρων ποιητῶν — Μαθήματα Θεοτοκία — Οἶκοι τοῦ Μανουὴλ Λαμπαδαρίου — Πολυχρονισμοί — Ἄμωμος — Ἕτερα τοῦ ἔτους μαθήματα — Τρισάγια νεκρώσιμα διάφορα — Κατανυκτικὰ μαθήματα δέκα — Ἕτεροι πολυχρονισμοὶ ιγ' — Κρατήματα καὶ Νάϊα διάφορα παλαιά τε καὶ νέα.

Ἐν φ. 746 α « Ἐτοῦτο τὸ βιβλίον ὑπάρχει τοῦ προηγουμένου παπᾶ Ἀλυπίου τοῦ Λαυριώτου ».

**1476.** — *K 189. **Συναξαριστής.**

Χαρτ. 31 × 21 αἰῶν. ιζ' φ. 461 δίστηλ.

Συναξάριον σὺν Θεῷ ἁγίῳ τῆς συνόψεως τῶν ἁγίων τοῦ ὅλου χρόνου, ὅθεν τε ἕκαστος καὶ ἐκ τίνων ἔφυ καὶ ἐν οἷς χρόνοις καὶ εἴτε τὸν διὰ μαρτυρίου εἴτε τὸν δι' ἀσκήσεως ἐδέξατο στέφανον.

Ἐν τέλει ·

« Ἄναξ ἀνάκτων παντοκράτορ Χριστέ μου
ἔγειρον ἀνάστησον ὡς πεπτωκότα
Συμεὼν πανάθλιον ἱεροδιάκῳ
δείλαιον ἀνάξιον τὸν γεγραφότα
ταύτην τὴν θείαν τε καὶ σεπτὴν βίβλον
καὶ δὸς τέλος μοι μετανοίας γνησίας ·

Συναξαριστὴς τῆς καθ' ἡμᾶς θείας καὶ ἱερᾶς βασιλικῆς μεγάλης Λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ τοῦ καθολικοῦ ἁρμαρίου καὶ εἴτις τὸ ἐκβάλλει ἀλλαχόθεν ἔξω τῆς μονῆς ταύτης νὰ εἶνε ἀφορισμένος καὶ ἀσυγχώρητος ὑπὸ θεοῦ » κτλ.

**1477.** — K 190. **Πράξεις ἀποστόλων.**

Χαρτ. 29 × 19 αἰῶν. ιε' (1479) φ. 173 δίστηλ.

1. Πράξεις τῶν θείων καὶ πρόλογος τῶν πανευφήμων ἀποστόλων — « Τάξις ἀποστόλων τὸ βιβλίον καλεῖται ἐπειδὴ τὰς πράξεις ὁμοῦ τῶν ἀποστόλων περιέχει ».
2. φ. 43α Καθολικαὶ ἐπιστολαὶ Ἰακώβου, Πέτρου (φ. 48), Ἰωάννου (φ. 56), Ἰούδα (φ. 63).
3. φ. 65α Αἱ ιδ' ἐπιστολαὶ τοῦ Παύλου.

Ἐν φ. 47 ἡ Εἰκὼν τοῦ Πέτρου· ἐν φ. 62 ἡ Εἰκὼν τοῦ Ἰούδα, ἐν φ. 64 ἡ Εἰκὼν τοῦ Παύλου.

Ἐν τέλει· «Ἐτελειώθη τὸ παρὸν βιβλίον τῶν πράξεων διὰ συνδρομῆς καὶ ἐξόδου κυροῦ Νεοφύτου Κακαΐδᾶ τὸ ἐπίκλην ἐπὶ ἔτους ςϡπζ′ (1479) χειρὶ Ἰωάννου ἀναγνώστου τοῦ Βρανᾶ».

**1478. — Κ 191. Ὀκτώηχος.**

Χαρτ. 31 × 12 αἰῶν. ιη′ (1756) φ. 96.

Περιέχει τὰ ἀναστάσιμα τῆς Ὀκτωήχου, τὰ Ἐξαποστειλάρια καὶ τὰ ια′ ἑωθινά.

Ἐν τέλει· «Χειρὶ Κυπριανοῦ Λαυριώτου τοῦ ἐκ Μετσόβου αψνς» (1756).

**1479. — *Κ 192. Λόγοι.**

Χαρτ. 31 × 20 αἰῶν. ιη′ φ. 323.

Κατάνυξις· Λόγοι διάφοροι περιέχοντες τὰς τῶν παθῶν πάντων κατηγορίας δι' ἐνιστοριῶν παραδειγμάτων τῆς τε παλαιᾶς καὶ νέας Διαθήκης τῶν ἀπὸ Ἀδὰμ καὶ καθεξῆς, συγγραφέντες παρ' ἐμοῦ Συμεὼν μοναχοῦ ἀνδρὸς καὶ παναθλίου ἁμαρτωλοῦ πρὸς τὴν ἐμαυτοῦ ψυχήν, ἑκάστης κατηγορίας τὸν ταλανισμὸν ἀναφέροντος ἐν Κεφαλαίοις τριάκοντα καὶ δυσὶ καθὼς ὑποτέτακται.

Ἐν τέλει· «Θεοῦ τὸ δῶρον κόπος δὲ καὶ πόνος Νείλου ἁμαρτωλοῦ.»

**1480. — Κ 193. Πεντηκοστάριον.**

Χαρτ. 30 × 19 αἰῶν. ιη′ φ. 172 δίστηλ.

Περιέχει τὴν ἀνήκουσαν αὐτῷ Ἀκολουθίαν.

**1481. — Κ 194. Νομοκάνων.**

Χαρτ. 29 × 19 αἰῶν. ις′ φ. 255 ἀκέφ. κολοβ.

Σύνταγμα κατὰ στοιχεῖον αβ' τῶν ἐμπεριειλημμένων ἁπασῶν ὑποθέσεων τοῖς ἱεροῖς καὶ θείοις κανόσι ποιηθὲν ἅμα καὶ συντεθὲν τῷ ἐν ἱερομονάχοις ἐλαχίστῳ Ματθαίῳ· (ἴδ. καὶ Κώδ. Θ 220).

1. Ἐν ἀρχῇ τοῦ Κώδ. καταγράφονται τὰ σύνορα τοῦ θρόνου Ἀντιοχείας τῆς μεγάλης, ὧν ἡ ἀρχὴ ἐξέπεσε· ἄρχεται οὕτω: «ἐκ τῆς αὐτῆς ἐνορίας ἐστιν· καὶ ἀπὸ τῆς μεγάλης βρύσεως ἕως τοῦ ποταμοῦ ἡ ἐνορία τῆς μητροπόλεως Τύρου· καὶ ἀπ' ἐκείνου τοῦ ποταμοῦ ἕως τοῦ ποταμοῦ τοῦ καλουμένου Μοῦρο ἡ ἐνορία τῆς Σιδῶνος ἤτοι Σαΐτη» κτλ.

2. φ. 1α Αἱ ἐπαρχίαι τοῦ θρόνου τῆς Ἀντιοχείας τῆς Συρίας τοῦ ἀποστολικοῦ θρόνου τοῦ ἁγίου Πέτρου διὰ τῆς ἀνατολικῆς διοικήσεως· Ἐπαρχία Κιλικίας (Ταρσός, Πομπιούπολις, Ἀναζαρβός τὸ ὅλον 18 μητροπόλεις)· Ἐπαρχία Ἰσαυρίας ἥτις ἐστὶ διῃρημένη εἰς τέσσαρα κλήματα (26 Μητροπόλεις)· Ἐπαρχία Θεοδωριάδος (10 Μητροπόλεις)· Ἐπαρχία Ὀσρωΐου (13 Μητροπόλεις)· Ἐπαρχία Εὐφραντησίας (19 Μητροπόλεις)· Μέχρι τῶν ὧδε πλήρωμα τῆς Μεσοποταμίας καὶ ἄρχεται τῆς γῆς Περσίδος κλίματος Ἀρζανίνης.

Ὧδε πληροῦται ἡ Μεσοποταμία καὶ ἔστιν ὁ Ταῦρος καὶ ἡ κλεισοῦρα Βαλαλεσῶν. καὶ ἄρχεται κατὰ τὸ ἀρκτῷον μέρος ἡ μεγάλη Ἀρμενία· Εἰσὶ δὲ οἰκοῦντες εἰς τὸ ὄρος τοῦ Ταύρου πλησίον τοῦ αὐτοῦ κλήματος λαοὶ δύο, ὀνομαζόμενος ὁ μὲν εἷς Χοθθαῖται, ὁ δὲ ἕτερος Σασσυνῖται· καὶ ἔστιν ὄρος ὑψηλὸν ὀνομαζόμενον Μαραθκὲν ἐν ᾧ καὶ ἡ κιβωτὸς τοῦ Νῶε ἐπιφερομένη τοῖς ὕδασι προσέκρουσεν εἰς τὴν κορυφὴν τοῦ ὄρους καὶ ἔστι τοῦτο γνωστὸν πᾶσι τοῖς τῶν ἐκεῖσε μερῶν μέχρι τῆς σήμερον.

3. Ἐπαρχία Μεσοποταμίας ἄνω ἢ τετάρτης Ἀρμενίας· Ἐπαρχία τετάρτης Ἀρμενίας ἄλλης — Κλῆμα Σοφίνης — Ἐπαρχία Φοινίκης παραλίας — Ἐπαρχία Φοινίκης Λιβάνου· Ἐπαρχία Παλαιστίνης πρώτης, δευτέρας καὶ τρίτης.

4. Διὰ τῆς Αἰγυπτιακῆς διοικήσεως· Ἐπαρχία Ἀσταμνικῆς (;) Μητροπόλεις ὑποκείμεναι τῷ θρόνῳ Ἀλεξανδρείας ς′. Πηλουσίου, Λεοντουπόλεως, Ὀξυρρύχου, Ἀτίνου, Πτολεμαΐδος, Δαρνιαίου.

Μητροπολῖται αὐτοκέφαλοι ζ′.

Ὁ Μαριώτου, Τενεσίου, Δαμιάτου, Σάτου, ὁ τῆς Ἐρυθρᾶς θαλάσσης, ὁ Φαρῶν, ὁ Ἀρῆς.

Ἐπαρχία Ἀρκαδίας· Ἐπαρχία Ἀραβίας.

Ἔχει δὲ καὶ ὁ Νεῖλος ποταμὸς στόματα ἑπτά· Ἀλεξάνδρου, Βολυνθοῦ, Ἁγνοῦ, Παράλου, Χάσματος, Δαμιάθης, Τενέσι.

5. Ἡ γεγονυῖα ὑποτύπωσις παρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῆς ἐκκλησίας τᾶς ὑποκειμένης τῷ πατριάρχῃ.

6. Ἑρμηνεία λατινικῶν λέξεων κωδίκελλος = ἡ τελευταία βούλησις· λίβελλος = ἔκδοσις· μανδάτο = ἔνταλμα· ὀφφίκιον = λειτούργημα· πραίτωρ = στρατηγός· ραιπούδιον = χωρισμὸς γάμων διὰ πιττακίων· τίτλος = κεφάλαιον, αἰτία. κτλ.

7. φ. 11α Σύνταγμα Ματθαίου Βλαστάρεως κατὰ στοιχεῖον.

8. φ. 237α Τὰ ὀφφίκια τῆς μεγάλης ἐκκλησίας· τάξις τῶν ὀφφικίων καὶ τῶν ἀρχόντων τῆς μεγάλης ἐκκλησίας.

9. φ. 238α Ἐκ τοῦ Κανονικοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Νηστευτοῦ.

10. φ. 242α Νικήτα μητροπολίτου Ἡρακλείας ἀποκρίσεις πρός τινα Κωνσταντῖνον ἐπίσκοπον περὶ ὧν ἠρωτήθη.

11. Νικηφόρου Κ/πόλεως Κανόνες.

12. Ἐκ τῶν τοῦ Ἰωάννου Κίτρους πρὸς τὸν ἐπίσκοπον Δυρραχίου Καβάσιλα.

13. φ. 246α Κατὰ ἀζύμων.

14. φ. 248α Ἐπιστολὴ Ἰωάννου πάπα Ρώμης πρὸς Φώτιον πατριάρχην Κ/πόλεως.

15. φ. 249α Πράξεις ἐκκλησιαστικαὶ γινόμεναι

κατὰ καιροὺς συλλεχθεῖσαι ὑπὸ διαφόρων βιβλίων ἱστορικῶν καὶ χρονογράφων.

« Ἐν ταῖς ἡμέραις Ἀθανασίου τοῦ μεγάλου ἦν ἐν Ἱερουσαλὴμ πρόεδρος Μάξιμος ὁ ὁμολογητής... (Ἐνταῦθα ἀναφέρεται καὶ ποῖοι ἀρχιερεῖς ἐχειροτονήθησαν ὑπὸ Ἀρειανῶν, ὡς » ὁ Κύριλλος ἀνὴρ ὡς λέγουσι κορυφαῖος τῆς Ἀρείου αἱρέσεως · εἶτα ἐκ μεταμελείας τῷ ὁμοουσίῳ προσθεὶς καὶ τῇ ὀρθοδοξίᾳ συνθέμενος ἐδέχθη παρὰ τῆς ἐκκλησίας ἀσμενέστατα μηδένα λόγον ποιησαμένης τῆς αὐτοῦ χειροτονίας... οὗτος διεδέχθη τὸν ἅγιον Μάξιμον καὶ ἅγιος ἀνωμολόγηται καὶ τῆς β' συνόδου προέστη... ὡσαύτως καὶ ὁ ἅγιος Μελέτιος πρῶτον ἐχειροτονήθη παρὰ τῶν ἀρειανῶν ἐπίσκοπος Σεβαστείας).

16. φ. 253 Τοῦ ἁγίου Κυρίλλου περὶ διακεκριμμένης καὶ ἡνωμένης Θεολογίας ἔκθεσις πίστεως.

17. Ἀποδείξεις ἐκ τῶν θησαυρῶν (Βασιλείου καὶ Γρηγορίου τοῦ Θεολόγου) περὶ εὐταξίας, ἐκ τοῦ Στουδίτου περὶ τῆς ἁγίας Τριάδος καὶ κατὰ Λατίνων.

18. φ. 254 Πρὸς τοὺς λέγοντας ὅτι τοῦ πάπα ψιλὸν μνημόσυνον οὐδέν τι παραβλάπτει οὐδὲ φέρει τι σκάνδαλον εἰς τὴν τοῦ Χριστοῦ ἐκκλησίαν.

### 1482. — Κ 195. Συναξαριστής.

Χαρτ. 29 × 20 αἰῶν. ιζ (1655) φ 176 δίστηλ.

Συναξαριστὴς τοῦ μηνὸς Μαΐου.

Ἐν τέλει · « Τέλος τοῦ μηνὸς Μαΐου ζρξγ (1655) ».

### 1483. — Κ 196. Ὁμιλίαι.

Χαρτ. 30 × 21 αἰῶν. ιε' φ. 339.

1. φ. 1α Βασιλείου τοῦ μεγάλου ὁμιλίαι (2) εἰς τὸν α' καὶ λγ' ψαλμόν.

2. φ. 12α Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ « πρόσεχε σεαυτῷ ».

3. φ. 16α Ἰωάννου τοῦ Δαμασκηνοῦ περὶ τῶν ἐν πίστει κεκοιμημένων ὅπως αἱ ἐπ' αὐτῶν γινόμεναι λειτουργίαι καὶ εὐποιΐαι τούτους ὀνίνησι τὰ μέγιστα.

4. φ. 24α Νικολάου τοῦ Καβάσιλα Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου « εἴ ποτε δεῖ χαίρειν ἄνθρωπον ».

5. φ. 28α Τοῦ αὐτοῦ Λόγος « εἰς τὰ σωτήρια πάθη τοῦ σωτῆρος ἡμῶν »

« Ἄκουε οὐρανὲ καὶ ὁ τῶν ἀγγέλων ἅπας κύκλος. »

6. φ. 32β Τοῦ αὐτοῦ Λόγος εἰς τὴν Ἀνάληψιν.

« Αἱ χάριτες μὲν ἐπὶ τῶν προτέρων χρόνων. »

7. φ. 35α Μακαρίου ἱερομονάχου Ἐγκώμιον εἰς τοὺς ἐν ἁγίοις θεοφόρους πατέρας ἡμῶν καὶ οἰκουμενικοὺς διδασκάλους τοὺς ἐν ταῖς ἑπτὰ θείαις καὶ οἰκουμενικαῖς συνόδοις συνελθόντας.

« Τῶν ἐν ὁσιότητι διαλαμψάντων. »

8. φ. 42α Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης (τοῦ Παλαμᾶ) ὁμιλία περὶ τῆς πρὸς ἀλλήλους εἰρήνης ῥηθεῖσα μετὰ τρίτην ἡμέραν τῆς αὐτοῦ πρὸς Θεσσαλονίκην ἐπιδημίας.

« Ἀδελφοὶ μὲν ἡμεῖς πάντες. »

9. φ. 44α Τοῦ αὐτοῦ ὁμιλία εἰς τὴν κατὰ τὸν Τελώνην καὶ Φαρισαῖον τοῦ Κυρίου παραβολήν.

« Εὔπορός ἐστιν εἰς κακίαν ὁ νοητὸς τῆς κακίας. »

10. φ. 49α Τοῦ αὐτοῦ ὁμιλία εἰς τὴν κατὰ τὸν σεσωσμένον ἄσωτον τοῦ Κυρίου παραβολήν.

« Ἔσται ποτὲ λιμὸς τὴν Ἱερουσαλήμ. »

11. φ. 53α Τοῦ αὐτοῦ εἰς τὴν δευτέραν παρουσίαν τοῦ σωτῆρος κατὰ τὴν Κυριακὴν τῆς Ἀπόκρεω.

« Τῇ μὲν παρελθούσῃ Κυριακῇ. »

12. φ 57α Τοῦ αὐτοῦ εἰς τὴν Ὑπαπαντὴν ἐν ᾗ καὶ περὶ σωφροσύνης καὶ τῆς ἀντιθέτου ταύτης κακίας.

« Τὴν μὲν προγονικὴν ἐκείνην. »

13. φ. 61α Τοῦ αὐτοῦ Ὁμιλία προτρεπτικὴ πρὸς νηστείαν ἐν ᾗ καὶ περὶ τῆς τοῦ κόσμου γενέσεως ὡς ἐπιτόμῳ ἐξεφωνήθη τῇ Τετράδι τῆς α' ἑβδομάδος.

« Πολύς ἐστιν εἰς κακίαν εὐμήχανός τε. »

14. φ. 64α Τοῦ αὐτοῦ Ὁμιλία τῇ β' Κυριακῇ τῆς ἁγίας τεσσαρακοστῆς ὑπόθεσιν ἔχουσα τὸν ἐν Καπερναοὺμ ἰαθέντα παρὰ τοῦ Κυρίου παράλυτον καὶ πρὸς τοὺς ἀκαίρως ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατὰ τὴν ἐκκλησίαν ἱεραῖς συνάξεσιν.

« Αὐτὰς τὰς δεσποτικὰς φωνάς. »

15. φ. 67α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν.

« Ὁ τοῦ Χριστοῦ σταυρὸς προανεκηρύττετο. »

16. φ. 73α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ εὐαγγέλιον τῆς Τετάρτης ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ ἐν ᾗ περὶ τῆς ἐπιμελείας τῶν ἔνδον λογισμῶν.

« Πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην. »

17. φ. 76α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.

« Ὁ μὲν ψαλμῳδὸς προφήτης ἀπαριθμούμενος. »

18. φ. 79α Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν Βαΐων.

« Καιρῷ δεκτῷ ἐπήκουσά σου. »

19. φ. 82α Τοῦ αὐτοῦ Ὁμιλία δεικνῦσα τὸ τοῦ Σαββάτου καὶ τῆς Κυριακῆς μυστήριον καὶ εἰς τὸ τῆς καινῆς Κυριακῆς εὐαγγέλιον.

« Καινὴν Κυριακὴν ἑορτάζομεν σήμερον. »

20. φ. 86α Τοῦ αὐτοῦ Ὁμιλία τῇ Κυριακῇ τῶν Μυροφόρων ἐν ᾗ καὶ ὅτι πρώτη τὸν Κύριον ἡ Θεοτόκος εἶδεν ἐκ νεκρῶν ἀναστάντα.

« Ἡ τοῦ Κυρίου ἀνάστασις. »

21. φ. 89α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ κατὰ τὴν Σαμαρείτιδα τοῦ Χριστοῦ εὐαγγέλιον καὶ ὅτι δεῖ καταφρονεῖν τῶν παρόντων.

« Διὰ πασῶν τῶν νῦν διερχομένων. »

22. φ. 93α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην ἑωθινὸν ὄγδοον, ἐν ᾗ καὶ ὅτι μεγάλων δωρεῶν ἀξιωθήσονται οἱ μέχρι τέλους μετ' εὐχαριστείας ἐν ταῖς ἱεραῖς συνάξεσι παραμένοντες.

« Ἰωάννης ὁ παρθένος καὶ τὴν ἐν μητράσι μόνην. »

23. φ. 96$^α$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου ἐν ᾗ καὶ πῶς ἀναπληροῦται τὸ νομικὸν Σάββατον.

« Ἑώρταζον Ἰουδαῖοι τὸ φάσκα τὸ νομικόν. »

24. φ. 99$^α$ Τοῦ αὐτοῦ Ὁμιλία β′ εἰς τὴν αὐτὴν ἑορτὴν ἐν ᾗ καὶ περὶ παθῶν καὶ ἀρετῶν.

« Βλέπετε τὴν κοινὴν ἡμῖν ἑορτὴν καὶ εὐφροσύνην. »

25. φ. 101$^β$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ ι′ ἑωθινὸν εὐαγγέλιον ἐν ᾗ καὶ τοῦ κατ᾽ αἴσθησίν τε καὶ νοῦν πρὸς τὸν ἀντικείμενον ἡμῖν πόλεμον.

« Τὰ ἑωθινὰ τῶν θείων εὐαγγελίων. »

26. φ. 104$^α$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν κατὰ τὴν Πεντηκοστὴν τελεσθεῖσαν φανέρωσιν καὶ διανομὴν τοῦ θείου καὶ παντουργοῦ πνεύματος ἐν ᾗ καὶ περὶ μετανοίας.

« Ἐθεασάμεθα πρὸ μικροῦ τοῖς μεγάλοις. »

27. φ. 107$^β$ Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν ἁγίων πάντων.

« Θαυμαστὸς ὁ Θεὸς ὄντως ἐν τοῖς ἁγίοις. »

28. φ. 110$^β$ Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα ἐν καιρῷ τοῦ θέρους ἐν ᾗ καὶ περὶ πνευματικοῦ θέρους.

« Ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης. »

29. φ. 113$^α$ Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα καὶ αὕτη ἐν καιρῷ τοῦ θέρους ἐν ᾗ καὶ περὶ τοῦ μέλλοντος ἡμῖν λογικοῦ θέρους.

« Ὁ λόγος ὃν ἐλάλησα ἐκεῖνος κρινεῖ ὑμᾶς. »

30. φ. 116$^α$ Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα κατὰ τὴν ἑορτὴν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου.

« Ἡ τῶν ἁγίων ἑκάστου μνήμη κατὰ τὴν ἑόρτιον. »

31. φ. 118$^α$ Τοῦ αὐτοῦ Ὁμιλία ὑπόθεσιν ἔχουσα τὸν κατὰ τὸν Εὐαγγελιστὴν Ματθαῖον ἐν Καπερναοὺμ ἰαθέντα παρὰ Κυρίου παράλυτον ἐν ᾗ καὶ περὶ τῆς κατὰ Θεὸν λύπης.

« Μελισσείῳ κηρίῳ ἐοικέναι τὴν εὐαγγελικὴν φωνήν. »

32. φ. 121$^α$ Τοῦ αὐτοῦ Ὁμιλία ὑπόθεσιν ἔχουσα τοὺς κατὰ τὸν εὐαγγελιστὴν Ματθαῖον ἐν οἰκίᾳ ἀναβλέψαντας τυφλοὺς ἐν ᾗ καὶ ὅτι οὐκ ἔστι πίστειν ἔχειν ἀληθῶς χωρὶς τῶν ἔργων τῆς μετανοίας.

« Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ σώματος. »

33. φ. 124$^α$ Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα ἐν Λιτῇ τελουμένῃ εἰς τὴν πρώτην τοῦ Αὐγούστου μηνός.

« Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν. »

34. φ. 127$^α$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ κατὰ τὸν Εὐαγγελιστὴν Ματθαῖον τῆς ἐνάτης Κυριακῆς εὐαγγέλιον ἐν ᾗ καὶ περὶ πειρασμῶν.

« Ἰάκωβος ὁ ἀδελφόθεος πᾶσαν χαράν. »

35. φ. 130$^α$ Τοῦ αὐτοῦ Ὁμιλία περὶ ἀρετῶν καὶ τῶν ἀντιθέτων αὐταῖς παθῶν καὶ ὅτι κόσμος οὗ κοσμοκράτωρ ὁ διάβολός ἐστιν οὐ τὰ κτίσματά ἐστι τοῦ Θεοῦ ἀλλ᾽ οἱ διὰ τῆς παραχρήσεως τῶν κτισμάτων ὑποταγέντες αὐτῷ· ἐξεφωνήθη καὶ αὕτη ἐν Λιτῇ.

« Ὥσπερ ἐπὶ τῆς γεωργουμένης γῆς οἷα τις σπείρει. »

36. φ. 133$^α$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν σεπτὴν Μεταμόρφωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ᾗ παράστασις ὅτι τὸ κατ᾽ αὐτὴν φῶς ἄκτιστόν ἐστιν· ἐξεφωνήθη πρωῒ κατὰ τὴν ἑορτήν.

« Ἐπαινοῦμεν καὶ ἡμεῖς καὶ θαυμάζομεν. »

37. φ. 136$^α$ Τοῦ αὐτοῦ εἰς τὴν αὐτὴν ἐν ᾗ παράστασις ὡς εἰ καὶ ἄκτιστόν ἐστι τὸ κατ᾽ αὐτὴν θειότατον φῶς ἀλλ᾽ οὐκ ἔστιν οὐσία τοῦ Θεοῦ· ἐξεφωνήθη κατὰ τὴν θείαν λειτουργίαν.

« Ἡσαΐας ὁ προφήτης περὶ τοῦ εὐαγγελίου. »

38. φ. 139$^α$ Τοῦ αὐτοῦ Ὁμιλία ῥηθεῖσα κατὰ τὴν ια′ τοῦ Ματθαίου Κυριακὴν ὑπόθεσιν ἔχουσαν τὴν τοῦ Κυρίου παραβολὴν τὴν λέγουσαν· « ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ ὃς ἠθέλησε συνάραι λόγον » ἐν ᾗ καὶ περὶ ἀνεξικακίας καὶ συμπαθείας.

« Ὁ Θεὸς αὐτεξούσιον ζῷον πλάττων τὸν ἄνθρωπον. »

39. φ. 142$^α$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν πάνσεπτον Κοίμησιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου.

« Τὴν ἐμὴν ὁμιλίαν σήμερον πρὸς τὴν ὑμετέραν. »

40. φ. 146$^α$ Τοῦ σοφωτάτου καὶ λογιωτάτου Νικολάου τοῦ Καβάσιλα Λόγος εἰς τὴν πάνσεπτον καὶ ὑπερένδοξον Κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου.

« Τοῦ νῦν ἀγῶνος ὡς οὐδὲν ἂν γένοιτο μεῖζον. »

41. φ. 150$^α$ Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης (τοῦ Παλαμᾶ) εἰς τὸ α′ ἑωθινὸν ἐν ᾗ καὶ ὅτι οὐκ ἀρκεῖ τὸ θεῖον βάπτισμα σῶσαι τὸν ἄνθρωπον εἰμὴ καὶ τὴν τήρησιν ἔχειν σπεύδει τῶν θείων ἐντολῶν.

« Ὁ πρὸ τῶν ὄντων ὢν καὶ τὰ ὄντα ἐκ μὴ ὄντων ποιήσας. »

42. φ. 153$^α$ Τοῦ αὐτοῦ Ὁμιλία ῥηθεῖσα εἰς Λιτὴν γενομένην διὰ τὴν ἀήθη καὶ ἀθρόαν τοῦ θανάτου πληγήν.

« Ἰωάννης ὁ ἠγαπημένος τῷ Χριστῷ Θεολόγος. »

43. φ. 156$^α$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου.

« Εἰ τίμιος ὁ θάνατος τῶν ὁσίων ».

44. φ. 160$^β$ Τοῦ αὐτοῦ Ὁμιλία τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ Ματθαίου Κυριακῇ εἰς τὴν παραβολὴν τὴν καλοῦσαν εἰς τοὺς γάμους τοῦ υἱοῦ ἐν ᾗ καὶ πρὸς τοὺς λέγοντας διατὶ ἐκάλεσεν ὁ Θεὸς εἰδὼς τοὺς μηδαμῶς ἢ μὴ δι᾽ ἔργων ὑπακούσαντας καὶ διατὶ ἐποίησε τοὺς κολασθησομένους.

« Τῆς σήμερον ἀναγνωσθησομένης ἐν τῷ εὐαγγελίῳ. »

45. φ. 163$^β$ Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν σωτήριον γέννησιν τῆς Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

« Πᾶς μὲν καιρὸς ἐπιτήδειός ἐστι πρὸς τὸ καταβαλέσθαι. »

46. φ. 165$^α$ Τοῦ σοφωτάτου καὶ λογιωτάτου κὺρ

Νικολάου τοῦ Καβάσιλα Λόγος εἰς τὴν ὑπερένδοξον γέννησιν τῆς Θεοτόκου.

« Καὶ πρῶτα μὲν τὸν Θεὸν ἐνταῦθα καλῶμεν. »

47. φ. 172α Γρηγορίου Θεσσαλονίκης [τοῦ Παλαμᾶ] ὁμιλία εἰς τὸ τῆς ἑπτακαιδεκάτης Κυριακῆς τοῦ Ματθαίου εὐαγγέλιον τὸ περὶ τῆς Χαναναίας ἐν ᾗ καὶ περὶ τῆς τοῦ ἀνθρώπου εὐτελείας καὶ τῆς ἐπαινετῆς ταπεινώσεως.

« Ὅτι ὁ Κύριος ὑπερηφάνοις ἀντιτάσσεται. »

48. φ. 174α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν τοῦ Χριστοῦ ἐξόχως ἠγαπημένον Ἰωάννην τὸν Θεολόγον ἐν ᾗ καὶ περὶ τῆς εἰς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπης.

« Ἑορτὴν ἄγομεν σήμερον. »

49. φ. 177α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ τῆς β' Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον τὸ λέγον « ὅσα ἂν θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως » ἐν ᾗ καὶ κατὰ τοκιζόντων.

« Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν. »

50. φ. 179α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ τῆς γ' Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον ὑπόθεσιν ἔχοντος τὸν ὑπὸ τοῦ Κυρίου ἐγερθέντα τῆς χήρας παῖδα ἐν ᾗ καὶ περὶ τοῦ συγγνωμονικοὺς ἡμᾶς καὶ συμπαθεῖς πρὸς ἀλλήλους εἶναι.

« Τὸ θεῖον καὶ κοινωφελὲς ὁ μέγας Παῦλος ».

51. φ. 181α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τῆς δ' Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον τὸ λέγον· « ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ » ἐν ᾗ καὶ περὶ τῆς ὀφειλομένης πρὸ τοῦ σπόρου τῆς παρ' ἡμῶν τελεῖσθαι καλλιεργείας.

« Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἀπὸ τῶν σοφῶν ».

52. φ. 184α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ τῆς ε' Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον τὸ λέγον· « ἄνθρωπός τις ἦν πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον » ἐν ᾗ καὶ περὶ πλουσίων τε καὶ πενήτων· τίς ὁ σωζόμενος;

« Τῶν κατὰ σῶμα χρειῶν τὰς μὲν ἐκ τῶν οἰκείων. »

53. φ. 187α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸν ἐν ἁγίοις μεγαλομάρτυρα τὸν Μυροβλήτην.

« Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου. »

54. φ. 191α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ τῆς ς' τοῦ Λουκᾶ εὐαγγέλιον τὸ λέγον· « ἐξελθόντι τῷ Ἰησοῦ ἐκ τῆς πόλεως ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν.

« Ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα. »

55. φ. 193α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν ζ' Κυριακὴν τοῦ Λουκᾶ καὶ ὅτι ἡ πρὸς Θεὸν συνεχὴς διὰ προσευχῆς καὶ ψαλμῳδίας ἔντευξις ἕδρα ἐστὶ καὶ ἀσφάλεια παντὸς καλοῦ καὶ ἀποτροπὴ καὶ λύτρωσις πάσης κακίας τε καὶ δυσχερείας.

« Ἐπὶ νοῦν λαβὼν ὁ Δαυὶδ καὶ ἀναλογισάμενος. »

56. φ. 196α Τοῦ αὐτοῦ Λόγος εἰς τὴν πρὸς τὰ ἅγια τῶν ἁγίων εἴσοδον καὶ τὸν ἐν αὐτοῖς θεοειδῆ βίον τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

« Ἐπὶ τῶν μειζόνων ἢ κατ' ἀνθρωπίνην δύναμιν. »

57. φ. 208α Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα κατὰ τὴν αὐτὴν εἰς τὰ ἅγια τῶν ἁγίων εἰσόδιον ἑορτὴν τῆς Θεοτόκου.

« Εἰ ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. »

58. φ. 211α Τοῦ αὐτοῦ Ὁμιλία ὅτι μετὰ τῆς τοῦ Κυρίου παρουσίας καὶ τοῖς κατορθοῦσι μείζων ἡ ἀμοιβὴ καὶ τοῖς ἀπειθοῦσι πλείω ἡ κόλασις καὶ περὶ διαφόρων παθῶν καὶ ἀρετῶν, ἐξεφωνήθη κατὰ τὴν δεκάτην τοῦ Λουκᾶ ἥτις ἐστὶ πρὸ τῆς τῶν Προπατόρων.

« Ἐκήρυττε μὲν καὶ ὁ παλαιὸς νόμος τοῦ οὐρανοῦ τὸν Θεὸν εἶναι. »

59. φ. 214α Τοῦ αὐτοῦ Ὁμιλία ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν προπατόρων ἐν ᾗ καὶ πρὸς τοὺς ῥαθύμως ἔχοντας εἰς τὴν ἀκρόασιν τῆς διδασκαλίας διὰ τὴν τοῦ καιροῦ δυσχέρειαν καὶ τὴν τῶν σωματικῶν χρειῶν ἔνδειαν.

« Τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ σαρκωθέντος. »

60. φ. 216α Τοῦ αὐτοῦ Ὁμιλία περὶ τῶν ἁγίων καὶ φρικτῶν τοῦ Χριστοῦ μυστηρίων ἐκφωνηθεῖσα πρὸ τεσσάρων ἡμερῶν τῆς τοῦ Χριστοῦ γεννήσεως.

« Ὁ λόγος ὁ συντελῶν πρὸς σωτηρίαν ταῖς ἡμετέραις ψυχαῖς. »

61. φ. 219α Τοῦ αὐτοῦ Ὁμιλία τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως τῶν ἁγίων πατέρων περὶ τῆς κατὰ σάρκα γενεαλογίας τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς αὐτὸν ἐν παρθενίᾳ τεκούσης ἀειπαρθένου καὶ Θεοτόκου.

« Ἀγενεαλόγητον εἶναι. »

62. φ. 223α Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν κατὰ σάρκα θείαν καὶ σωτήριον γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος Χριστοῦ.

« Τῆς παρθενικῆς λοχείας ἡμῶν τελετή. »

63. φ. 226α Τοῦ αὐτοῦ Ὁμιλία περὶ τῶν κατὰ τὸ θεῖον βάπτισμα τελουμένων καὶ περὶ μετανοίας καὶ τῶν περὶ αὐτῆς εἰρημένων παρὰ τοῦ Βαπτιστοῦ Ἰωάννου· ἐξεφωνήθη τῇ παραμονῇ τῶν Φώτων.

« Ἡ μετάνοια καὶ ἀρχή ἐστι καὶ μεσότης καὶ τέλος τῆς τῶν Χριστιανῶν πολιτείας. »

64. φ. 229α Τοῦ αὐτοῦ Ὁμιλία ῥηθεῖσα τῇ ἁγίᾳ καὶ σεβασμίᾳ ἑορτῇ τῶν Φώτων ἐκ ᾗ καὶ κατὰ τὸ ἐγχωροῦν ἔκφανσις τοῦ μυστηρίου τοῦ Χριστοῦ βαπτίσματος.

« Χθὲς συνεκκλησιάζων καὶ συνεορτάζων ὑμῖν. »

65. φ. 233α Τοῦ αὐτοῦ Ὁμιλία τῇ δωδεκάτῃ Κυριακῇ τοῦ Λουκᾶ ὑπόθεσιν ἔχουσα τὴν τῶν δέκα λεπρῶν παράδοξον ἴασιν, ἐν ᾗ καὶ περὶ τῆς πρὸς Θεὸν καὶ πρὸς ἑαυτοὺς καὶ ἀλλήλους εἰρήνην.

« Τὰ τοῦ παλαιοῦ νόμου πάντα. »

66. φ. 236α Τοῦ αὐτοῦ Ὁμιλία τῇ πεντεκαιδεκάτῃ Κυριακῇ τοῦ Λουκᾶ ὑπόθεσιν ἔχουσα τὴν τοῦ ἀρχιτελώνου Ζακχαίου διόρθωσιν καὶ σωτηρίαν ἐν ᾗ καὶ περὶ φιλαδελφίας.

« Πρῴην μὲν τοῦ εὐαγγελιστοῦ Λουκᾶ. »

67. φ. 239α Τοῦ αὐτοῦ Ὁμιλία πρὸς τὴν σεμνοτάτην ἐν μοναζούσαις Ξένην περὶ παθῶν καὶ ἀρετῶν καὶ περὶ τῶν τικτομένων ἐκ τῆς κατὰ νοῦν σχολῆς.

« Τοῖς μοναδικῶς ζῆν προθυμουμένοις ἀληθῶς. »

68. φ. 246α Τοῦ αὐτοῦ διάλογος τῆς κατὰ Χριστὸν νομοθεσίας ἤτοι τῆς νέας διαθήκης.

« Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν. »

69. φ. 249α Τοῦ αὐτοῦ Λόγος ἀποδεικτικὸς πρῶτος ὅτι οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ ἀλλὰ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον.

« Πάλιν ὁ δεινὸς καὶ ἀρχέκακος ὄφις. »

70. φ. 264β Τοῦ αὐτοῦ Λόγος δεύτερος περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ὅτι οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ καὶ πρὸς τὰ παρὰ Λατίνων ἐκ τῆς θείας Γραφῆς εἰς συνηγορίαν αὐτῶν δῆθεν προτεινόμενα.

« Ὧν μὲν οὖν ἔδει καὶ αὐτῶν. »

71. φ. 286α Εἰς τὰς ὑπὲρ Λατίνων παρὰ τοῦ Βέκου συλλεγείσας γραφικὰς χρήσεις ἐπιγραφαὶ πρὸς ἃς αἱ καθεξῆς τοῦ μακαριωτάτου Θεσσαλονίκης ἀντεπιγραφαὶ δεικνῦσαι δυσσεβῶς ἐχούσας τὰς τοιαύτας ἐπιγραφὰς καὶ ἀντιθέτους οὔσας ταῖς συνειλεγμέναις τῶν ἁγίων ῥήσεσι.

« Λατίνων ἐπιγραφὴ α' Χρήσεις διάφοροι γραφικαί. »

72. φ. 289α Ἐπίτομος κατὰ τὸ δυνατὸν διήγησις τῆς ἐπὶ τοῦ παλατίου ἐνώπιον τοῦ βασιλέως γενομένης διαλέξεως τοῦ Θεσσαλονίκης κυροῦ Γρηγορίου καὶ Γρηγορᾶ τοῦ Φιλοσόφου.

« Ὁρισθεὶς παρὰ τοῦ ἁγιωτάτου ἡμῶν αὐθέντου καὶ βασιλέως. »

73. φ. 294α Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης ὡς ἐξ ἑτέρου συγγραφεὶς περὶ τῆς τοῦ Γρηγορᾶ ψευδογραφίας ὁμοῦ καὶ δυσσεβείας.

« Μεταλαχεῖν ἀθλίως τὸν Γρηγορᾶν. »

74. φ. 303α Ἔλεγχος τῆς εἰς τὸ θειότατον φῶς τῆς τοῦ Κυρίου Μεταμορφώσεως παντοδαπῆς τοῦ Γρηγορᾶ βλασφημίας καὶ παράστασις ἐξ ἀντιθέσεως ὅτι ἄκτιστον τοῦτό ἐστιν ὡς ἀληθῶς καὶ ἀΐδιον.

« Οὐδὲν οἷ ὦ φίλε δέσποτα εἰμὴ λίαν. »

75. φ. 309α Ἔλεγχος ἔτι τῆς εἰς τὸ θειότατον φῶς τῆς τοῦ Κυρίου Μεταμορφώσεως παντοδαπῆς τοῦ Γρηγορᾶ βλασφημίας καὶ παράστασις ἔτι διὰ πλειόνων ὅτι ἄκτιστον τοῦτό ἐστιν ὡς ἀληθῶς καὶ ἀΐδιον, οὐχὶ θεία φύσις ἢ πᾶσι παντάπασιν ἀνέκφαντος ὄν...

« Ὅτι μὲν οὖν καὶ ἔστι καὶ ἔσται τὸ τοῖς ἐγκρίτοις τῶν μαθητῶν. »

76. φ. 319α Ἰωάννου Χρυσοστόμου πρὸς τοὺς ἐγκαλοῦντας φεύγειν τὴν ἱερωσύνην ἀπολογητικός α' καὶ β'.

77. φ. 331β Τοῦ σοφοῦ Πλουτάρχου περὶ ἀρετῆς καὶ κακίας.

« Τὰ ἱμάτια δοκεῖ θερμαίνειν τὸν ἄνθρωπον. »

78. φ. 332α Τοῦ αὐτοῦ περὶ παίδων ἀγωγῆς.

Ἐν τέλει · « Θεοῦ τὸ δῶρον καὶ πόνος Νεοφύτου ».

## 1484. — Κ 197. Ὁμιλίαι.

Χαρτ. 24 × 18 αἰῶν. ιζ' (1624) φ. 434.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γερμανοῦ (;) ἀρχιεπισκόπου Κ/πόλεως Ὁμιλίαι εἰς τὰς Κυριακὰς τοῦ ὅλου ἐνιαυτοῦ καὶ εἰς μνήμας ἁγίων.

Ἐν ἀρχῇ τοῦ Κώδικος ὁ λόγιος Κύριλλος ὁ Λαυριώτης περὶ τῶν ὁμιλιῶν τούτων ἀποφαίνεται οὕτως : Οὐδαμῶς μὴ γένοιτο οὗτοι οἱ λόγοι νὰ εἶνε ἐκείνου τοῦ σοφωτάτου ἁγίου Γερμανοῦ · ἐπειδὴ οὗτοι εἰσὶν ἄτεχνοι καὶ ἀηδεῖς καὶ οὐδὲν ἔχοντες ἄξιον · ἔτι δὲ καὶ ἀνορθόγραφοι καὶ ἀπαράβαλτοι καὶ κακορίζικοι καὶ καὶ καὶ. Εὐτελὴς Κύριλλος αψπθ' (1789) Αὐγούστου κ' · κρίμα εἰς τὸ χαρτὶ κρίμα εἰς τὸ μελάνι κρίμα καὶ εἰς τὸ κιννάβαρι. ».

Ἐν τέλει · « Ἐτελειώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ ἐλαχίστου Πορφυρίου ἱερομονάχου ἐν μηνὶ Νοεμβρίῳ ιθ' τοῦ ἔτους αχκδ' (1624) ἰνδ. ζ'. »

## 1485. — Κ 198. Ἀνθολόγιον.

Χαρτ. 30 × 20 αἰῶν. ις' φ. 475 δίστηλ.

Ἀνθολόγιον τοῦ ὅλου ἐνιαυτοῦ.

Ἐν φ. 475 α « Βιβλίον τῆς σεβασμίας καὶ ἱερᾶς βασιλικῆς καὶ μεγάλης Λαύρας τοῦ ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ ἀσκήσαντος βιβλίον τοῦ Νοσοκομείου · ὅστις ἐκεῖνος τὸ ἐκβάλει ἔξω τοῦ μοναστηρίου νὰ εἶνε ἀφορισμένος ἀπὸ Θεοῦ ἐχέτω καὶ τὸ ἀνάθεμα ὑπὸ τῶν κλήρων τῶν δικαίων ἀμὴν ὡς ἱερόσυλος τῆς ἐκκλησίας. »

## 1486. — Κ 199. Βίοι ἁγίων.

Χαρτ. 30 × 20 αἰῶν. ιζ' φ. 204.

1. φ. 1α Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου συγγραφεὶς καὶ ἀποστολεὶς πρὸς τοὺς ἐν τῇ ξένῃ μοναχοὺς παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

2. φ. 42α Βίος καὶ πολιτεία τοῦ ὁσίου Συμεὼν τοῦ Στυλίτου τοῦ ἐν τῇ Μάνδρᾳ.

« Συμεώνην τὸν πάνυ τὸ μέγα θαῦμα. »

3. φ. 68α Βίος καὶ πολιτεία τοῦ ὁσίου Κυριακοῦ τοῦ ἀναχωρητοῦ.

« Τοὺς εὐλογοῦντάς σε φησὶ πρὸς τὸν Ἀβραὰμ ὁ Θεός. »

4. φ. 79α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀρσενίου τοῦ μεγάλου.

« Πολλὰ τῶν σπουδαίων ἀρχ. »

5. φ. 102α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἐφραὶμ τοῦ Σύρου.

« Ἐφραὶμ ὁ θαυμάσιος ἔφυ μὲν ἐκ τῆς Σύρων γῆς. »

6. φ. 110α Βίος καὶ πολιτεία τοῦ ὁσίου Μαρτινιανοῦ.

« Ὃν τρόπον αἱ τῶν προλαβόντων νόσοι σωματικαί. »

7. φ. 126α Βίος καὶ πολιτεία τοῦ ὁσίου Δανιὴλ τοῦ στηλίτου.

« Ὥσπερ ἐπὶ τῶν ἀριστέων. »

8. φ. 158α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ὀνουφρίου τοῦ ἐρημίτου.

« Θείας ἀγάπης καὶ ἔρωτος. »

9. φ. 173α Βίος καὶ πολιτεία τοῦ ὁσίου Πέτρου τοῦ Ἀθωνίτου.
« Τὸ τοὺς τῶν ἁγίων βίους. »
10. φ. 189α Ὑπόμνημα εἰς τὸν ἅγιον καὶ ἐν προφήταις Ἠλίαν τὸν μέγαν καὶ εἰς τὸν ὀπαδὸν αὐτοῦ καὶ φοιτητὴν Ἐλισσαῖον τὸν προφήτην καὶ μερικὴ διήγησις τῶν τερατουργιῶν αὐτῶν καὶ θαυμάτων.
« Τὸ μὲν λόγοις ἐγκωμίων. »

Ἐν τῷ Κώδ. κεῖνται δέκα εἰκόνες τῶν βιογραφουμένων ἀνωτέρω ἁγίων βυζαντινοῦ ἀρχαίου τύπου.

**1487. — Κ 200. Λόγοι.**

Χαρτ. 30 × 21 αἰῶν. ιδ' (1318) φ. 358 ἀκέφ.

[Ἐφραὶμ τοῦ Σύρου] λόγοι.
1. φ. 1 Ἀκέφαλος « εἰς τὸν πολὺν καύσωνα οὔτε ἀκτημοσύνην ὅπως ἄν μὴ βαρυθῇ ἀπὸ τῶν ἐναντίων ».
2. φ. 5α Τοῦ αὐτοῦ Λόγος ἕτερος εἰς πατέρας τελειωθέντας.
« Ἐν ταύτῃ τῇ ἡμέρᾳ τῇ πρώτῃ καὶ εὐσήμῳ. »
3. φ. 13α Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου τετρασύλλαβα.
« Νικηθεὶς δὲ κατὰ κράτος ὁ πονηρὸς διάβολος. »
4. φ. 14α Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου ἑπτασύλλαβα.
« Εἰδότες οὖν ἀδελφοὶ τὴν ἀσθένειαν αὐτοῦ. »
5. φ. 16α Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἰωάννην μονάζοντα περὶ ὑπομονῆς καὶ τοῦ μὴ ἀπατᾶσθαι τοῖς λογισμοῖς προφάσει δικαιωμάτων καὶ λέγειν ὅτι βοσκὸς πορεύομαι καὶ περὶ σωφροσύνης.
« Πολλὰ παραινέσαντες τὸν εὐλαβέστατον Θεόδωρον. »
6. φ. 24α [Τοῦ αὐτοῦ] περὶ ἀρετῆς πρὸς νεώτερον μοναχὸν παραίνεσις β', γ' (φ. 28), δ' (φ. 33), ε' (φ. 39).
7. φ. 43α [Τοῦ αὐτοῦ] Κεφάλαια δέκα περὶ ἀρετῆς.
« Ἀναγκαῖον δὲ ἡγησάμην. »
8. φ. 61α [Τοῦ αὐτοῦ] Λόγος ἀσκητικὸς εἰς τὸ « πρόσεχε σεαυτῷ » (Κεφ. ιϐ).
9. φ. 90α [Τοῦ αὐτοῦ] Ὅτι οὐ δεῖ γελᾶν καὶ μετεωρίζεσθαι ἀλλὰ κλαίειν καὶ πενθεῖν ἑαυτούς.
« Ἀρχὴ καταστροφῆς ψυχῆς μοναχοῦ γέλως. »
10. φ. 95α [Τοῦ αὐτοῦ] Συμβουλία περὶ πνευματικοῦ βίου πρὸς Νεόφυτον μοναχόν · Κεφ. ϟγ'.
« Ἐπήνεσά σου τὴν πίστιν. »
11. φ. 115α [Τοῦ αὐτοῦ] Περὶ ὀρθοῦ βίου Κεφάλαια πθ'.
« Ὀρθοῦ βίου ὀρέγῃ ταπεινοφροσύνην ἄσκησον. »
12. φ. 127α Τοῦ αὐτοῦ Μακαρισμοί.
« Μακάριος ὃς γέγονεν ὅλος ἐλεύθερος ἐν Κυρίῳ ἀπὸ πάντων τῶν γηίνων ». Μακαρισμοὶ ἕτεροι (φ. 134).
13. φ. 141α Τοῦ αὐτοῦ Λόγοι παραινετικοὶ πρὸς μοναχοὺς (παραινέσεις κη').
14. φ. 195α [Τοῦ αὐτοῦ] Ὅτι δεῖ τὸν χριστιανὸν μακρόθυμον καὶ ἀνεξίκακον εἶναι.
15. φ. 198α Περὶ παθῶν παραίνεσις λ'.
« Ἀνὴρ ἐν ἀμελείᾳ διάγων. »
16. φ. 199α Περὶ τοῦ πῶς δεῖ παρακαλεῖν ὀλιγωροῦντας παραίνεσις λα'.
17. φ. 204α Ὅτι οὐ δεῖ τὸν ἀναγινώσκοντα ἀδελφὸν ἐννοεῖν καὶ φιλοπόνως ἀναγινώσκειν ὡς τοῦ θεοῦ παρόντος.
18. φ. 205α Ἀντιρρητικὸς περὶ παρθενίας καὶ σωφροσύνης.
19. φ. 208α Παραίνεσις περὶ ἁγνείας.
20. φ. 210α Περὶ τοῦ μὴ ῥέμβεσθαι τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖσε ἀλλὰ μᾶλλον κάτω ἔχειν τὸ ὄμμα ἄνω δὲ τὴν ψυχὴν πρὸς Κύριον καὶ ἐν τίνι κατήργηται ὁ δαίμων τῆς πορνείας.
21. φ. 213α Περὶ πραϋπαθείας.
22. φ. 215α Περὶ ἀνυποτάκτων καὶ περὶ καταστάσεως καὶ φόβου Θεοῦ καὶ τοῦ κρίματος τοῦ μέλλοντος.
23. φ. 224α Περὶ εὐλαβείας.
24. φ. 228α Περὶ τῶν ἐκπιπτόντων ἐξ οἰκείας ἀμελείας καὶ προφασιζομένων προφάσεις ἐν ἁμαρτίαις.
25. φ. 235α Πρὸς ἀδελφὸν ἐκπεσόντα καὶ περὶ μετανοίας.
26. φ. 244α Ὅτι οὐ δεῖ ὀμνύειν οὔτε δυσφημεῖν.
27. φ. 248α Πρός τινα ἀδελφὸν ὁ λόγος εἴρηται ὅτι κρεῖσσον γαμεῖν ἢ πυροῦσθαι.
28. φ. 250α Ἀπολογία πρὸς ἀδελφὸν περὶ Ἠλεὶ τοῦ ἱερέως.
29. φ. 256α Παραίνεσις περὶ φόβου Θεοῦ.
30. φ. 260α Περὶ ἀγάπης.
31. φ. 261α Πρὸς Εὐλόγιον.
32. φ. 267α Πρὸς ἀκηδιαστὴν μοναχὸν λέγοντα ἀφίημι καὶ εἰς τὸν κόσμον ὑπάγω.
33. φ. 278α Παραίνεσις περὶ κακοπαθείας.
34. φ. 280α Περὶ διαφορᾶς τοῦ μοναχικοῦ βίου ὑπὲρ τὸν κοσμικόν.
35. φ. 281α Τοῦ αὐτοῦ κεφ. ρ' πῶς κτᾶταί τις ταπεινοφροσύνην.
36. φ. 318α Τοῦ αὐτοῦ περὶ τοῦ τέλειον εἶναι τὸν μοναχόν.
37. φ. 334α Περὶ τῆς θείας χάριτος.
38. φ. 339α Τοῦ αὐτοῦ περὶ γλωσσαλγίας καὶ παθῶν.
39. φ. 354α Λόγος διῃρημένος εἰς Κεφάλαια ἀκέφαλος οὗ ἡ ἀρχὴ · δενώσεσι μὴ εὐδοκοῦντες τοῖς ἴχνεσι τοῦ δεσπότου Χριστοῦ πῶς ἐξακολουθήσομεν ἐν ὑποταγῇ πρεσβυτέρων ἐν Κυρίῳ μὴ ἀνεχόμενοι....

Ἐν φ. 352 α « Τέλος σὺν Θεῷ τοῦ πρώτου βιβλίου ἔτους ςωκς' (1318) ἰνδ. ιε' μηνὸς Ἰουλίου λα' · ἡμέρα Δευτέρα.
Μέμνησθε τοῦ γράψαντος Νείλου πατέρες
ἐξαιρέτως δὲ ποιμένος τοῦ τῆς Λαύρας

θύτου μοναχοῦ συνετοῦ Γερασίμου
χρηστοῦ προσηνοῦς εὐμενοῦς πραϋθύμου
πατρὸς γαληνοῦ συμπαθοῦς ἰφιθύμου
ἀνεξικάκου μακροθύμου πραέως
οἰκτίρμονός τε πάμπαν ἱλαρωτάτου
σεμνοῦ σθεναροῦ δεξιοῦ ποδηγέτου
ἀνδρὸς δοκίμου λίαν ἐντρεχεστάτου
σοφίας μεστοῦ σὺν ἐπιστήμῃ πάσῃ
ἅμα τε θείων καὶ καθ' ἡμᾶς πραγμάτων
πείρᾳ μαθόντος τοῦ ποδηγεῖν εὐθέτως
νέους γέροντας ἅπασαν ἡλικίαν
τάξιν τε πᾶσαν μείζονα καὶ μετρίαν
πράως ἱλαρῶς καὶ πανημέρως ἄγαν
οἷς τὴν τρίβον δείκνυσι τῆς σωτηρίας
ἔργῳ λόγῳ τε χριστοτερπέσι τρόποις
ἐξ ἀνικάνων ἀξίους ὑπεξάγων
ὡς χρηματίσων θεῖον ἐντεῦθεν στόμα
λιτὰς προσάγων ἀγρύπνους ὑπὲρ τέκνων
ἐπιστρέφων τε βελτιῶν ἀγαθύνων
ἐπιστρέφων ὅπου γε καὶ δεῖ σὺν λόγῳ
ἅλατι θείῳ πανσόφως ἠρτυμένῳ
ἐπιβεβαιῶν συνετίζων εἰσάγων
πύκτας πρὸς αὐλὰς καὶ νομὰς οὐρανίους ·
οὕτω σοφὸς πέφυκε καὶ μεγαλόνους
οὗ τῇ κελεύσει τέρμα τερπνὸν ἡ βίβλος
εἴληφεν ὡς ἔνειμεν ἡ θεία χάρις ».

### 1488. — Κ 201. Ἰωάννου Χρυσοστόμου.

Χαρτ. 31 × 20 αἰῶν. ιδ' φ. 559 δίστηλ.

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὰς Πράξεις τῶν ἀποστόλων (Ὁμιλίαι νε').

### 1489. — Κ 202. Νομοκάνων.

Χαρτ. 32 × 23 αἰῶν. ιε' φ. 384 κολοβ.

Ἐξήγησις τῶν ἱερῶν καὶ θείων κανόνων τῶν τε ἁγίων καὶ σεπτῶν ἀποστόλων καὶ τῶν ἱερῶν οἰκουμενικῶν συνόδων ἀλλὰ μὴν καὶ τῶν τοπικῶν ἤτοι μερικῶν καὶ τῶν λοιπῶν ἁγίων πατέρων πονηθεῖσα Ἰωάννῃ μοναχῷ τῷ Ζωναρᾷ τῷ γεγονότι μεγάλῳ Δρουγγαρίῳ τῆς Βίγλας καὶ πρωτοασηκρήτης.

### 1490. — Κ 203. Κανόνες.

Χαρτ. 14 × 9 φ. 32.

1. Κανὼν τῆς ἀναστάσεως (μετὰ τῶν Θεοτοκίων τῶν γιωστῶν καὶ ἑνὸς ἔτι τρίτου εἰς ἑκάστην ᾠδήν).
2. Εὐχὴ εἰς τὰ κουκούλια.
3. Κανὼν ἰαμβικὸς εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου ποιηθεὶς παρὰ τοῦ ἐνδοξοτάτου καὶ σοφωτάτου αὐθεντὸς τῆς Οὐγγραβλαχίας κὺρ Νικολάου.
Ἦχος α' Ἔσωσε λαόν.
« Ἔστησε ρεῖθρον πανσθενὴς ρόον πάλαι. »
(Μετὰ τὸν Κανόνα Ἐξαποστειλάριον καὶ Στιχηρὰ τοῦ αὐτοῦ).
4. Κανὼν κατανυκτικὸς εἰς τὴν Θεοτόκον ποίημα Θεοδώρου τοῦ Στουδίτου οὗ ἡ ἀκροστιχίς · « Δέσποινα νεῦσον πρὸς λιτὰς Θεοδώρου » (ἴδ. Νικοδήμου Θεοτοκάριον).

## Λ

### 1491. — Λ 1. Θηκαρᾶς.

Χαρτ. 14 × 10 αἰῶν. ιζ' (1614) φ. 423.

1. φ. 1α Ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ Μεσονυκτικόν · λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸν τρισάγιον ἢ μετὰ τὸ « πιστεύω εἰς ἕνα Θεόν » καὶ ἔτι μετὰ τὸν τρισάγιον καὶ τὸ « ἰδοὺ ὁ νυμφίος » καὶ ἕτερα ἐκ τῶν δογματικῶν τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ.
2. φ. 401β Κανὼν παρακλητικὸς εἰς τὸν Χριστὸν (ἦχος πλ. δ' « Οἴμοι τί κλαύσω τί θρηνήσω πρότερον »).
3. φ. 408α Κανὼν ἕτερος εἰς τὸν Χριστόν (ἦχος πλ. β' « Ἐξομολόγησιν σῶτερ ὀδυνηρὰν καὶ ψυχῆς μετάνοιαν »).
4. φ. 415α Κανὼν χαιρετισμὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον ποίημα τοῦ εὐσεβεστάτου βασιλέως Θεοδώρου τοῦ Λάσκαρι (ἦχος α' « Χαίροις ἱλαστήριον ψυχῶν »).

Ἐν τέλει · « Τέλος τοῦ βιβλίου Θηκαρᾶ · Πορφυρίου τάχα τε καὶ ἱερομονάχου ἁμαρτωλοῦ εὔχεσθε αχιδ · ζρκβ (1614) μηνὶ Μαρτίῳ ς ».

### 1492. — Λ 2. Γραμματική.

Χαρτ. 15 × 10 αἰῶν. ιζ' (1692) φ. 140.

Ἐπιτομὴ τῶν ὀκτὼ τοῦ λόγου μερῶν · περὶ διαιρέσεως τῶν γραμμάτων.

Ἐν τέλει · « Τέλος τῶν ὀκτὼ μερῶν τοῦ λόγου. Δόξα σοι ὁ Θεὸς Ἱερεμίας εἶπε · ἐπληρώθη ἐν ἔτει ζρ » (1692).

### 1493. — Λ 3. Γραμματική.

Χαρτ. 14 × 10 αἰῶν. ιη' φ. 187 ἀκέφ.

Γραμματικὴ ὡς ἀνωτέρω.

### 1494. — *Λ 4. Γραμματική.

Χαρτ. 15 × 10 αἰῶν. ιζ' (1606) φ. 158.

1. Γραμματικὴ πάνυ πλουσιωτάτη περὶ διαιρέσεως τῶν γραμμάτων.
2. φ. 118β Περὶ τῶν συμφωνιῶν τῆς συντάξεως.
3. φ. 124α Κυροῦ Γεωργίου τοῦ Ζηγαβι-

νοῦ περὶ ἀντιστοίχων καὶ περὶ τῶν ἑπτὰ φωνηέντων ποῦ δασύνονται καὶ ποῦ ψιλοῦνται.

« Βούλομαι φίλε πρὸς μικρὸν ὧδε σοι σαφηνίσαι τῶν φωνηέντων τῶν ἑπτὰ τὴν θέσιν καὶ τὴν τάξιν. »

4. φ. 132α Τοῦ αὐτοῦ διδασκάλου πρὸς τὸν ἑαυτοῦ μαθητὴν πληροφορικὴ διδασκαλία ἀποσταλεῖσα εἰς μάθησιν τῶν ἀντιστοίχων.

« Ἀπ' ἄρτι φίλε γράφω σοι λέξεις τῶν ἀντιστοίχων ὠκέως καὶ συνοπτικῶς ἵνα ταχέως μάθῃς ἅπερ οἱ πλεῖστοι σόλοικα καὶ βάρβαρα προσφέρουν ὡς μὴ εἰδότες τί δηλοῖ λόγος τοῦ ἀντιστοίχου. »

5. φ. 143α Κανὼν περὶ ἀντιστοίχων ποίημα Θεοδώρου τοῦ Πτωχοπροδρόμου κατὰ ᾱβ. (Ἦχος β' · ἐν βυθῷ κατέστρωσε · « Ἀναφὴς καὶ ἄκτιστος Θεὸς καὶ ἀκατανόητος, στερητικὸν α ἔχει ψιλούμενον »).

6. φ. 146β Ἕτερος Κανὼν περὶ ἀντιστοίχων ποίημα Γαλακτίωνος κατὰ ᾱβ · (Ἦχος α' Σοῦ ἡ τροπαιοῦχος δεξιὰ · « Ἀεὶ τὸ ἐπίρρημα δηλοῦν διὰ παντὸς τὸ αὐτὸ δίφθογγον ε σύντῳ ι τε »).

7. φ. 149α Τοῦ αὐτοῦ ἕτερος Κανὼν κατὰ ᾱβ. (Ἦχος πλ. δ' Ἁρματηλάτην Φαραὼ · « Ἀεὶ ὡσεὶ καὶ ὡσανεὶ τὴν διφθογγον ει κατασπάζεται ».)

8. φ. 152α Τοῦ αὐτοῦ ἕτερος Κανὼν περὶ ἀντιστοίχων καὶ δασείας (Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε · « Ἑρμηνεία ὥρμησεν ὁδόν, ἅπαν ὅλον ἕκαστον »).

Ἐν φ. 153 α « Ἐγράφη τῷ ζριδ (1606) μηνὶ Ὀκτωβρίῳ · Θεοφάνης ἱερομόναχος ».

Ἐν φ. 158 α « Ἐκοιμήθη ὁ ἐν μακαρίᾳ τῇ λήξει πνευματικὸς ὁ παπᾶ κὺρ Διονύσιος ἐπὶ ἔτους ζριδ (1606) ἐν μηνὶ Ὀκτωβρίῳ εἰς τὰς ζ' ἡμέρα β.

Ἐκοιμήθη ὁ ἐν μακαρίᾳ τῇ λήξει πνευματικὸς ὁ κὺρ Θεοφάνης ἐπὶ ἔτους ζριε (1607).

Τοῦ ταπεινοῦ Ἀδριανουπόλεως Ἀνθίμου ».

## 1495. — Λ 5. Γραμματική.

Χαρτ. 15 × 11 αἰῶν. ιζ' φ. 145 ἀκέφ. κολοβ.

1. φ. 1α Γραμματικὴ (μετὰ θεμάτων καὶ σχολίων).

2. φ. 96α Ἀρχὴ σὺν Θεῷ · εἰδήσεις περὶ ὀρθογραφίας καὶ περὶ τῶν δασυνομένων φωνηέντων καὶ λέξεων · (ἐν. φ. 125α). Ἀρσενίου πόνημα ἐν μονοτρόποις.

3. φ. 125α Ἀπόφθεγμα πάνυ ἀναγκαιότατον ἐκ τῆς Γραμματικῆς ἅπασι φιλομαθέσιν ἐκτεθὲν παρὰ φιλομαθεστάτου τινος — Περὶ τόνων. « Ἰστέον ὅτι τόποι τῆς ὀξείας εἰσὶ τρεῖς ».

4. φ. 127α Ἀντιστοιχάριον κατὰ ᾱβ · ἀρχὴ τοῦ α στοιχείου. « Ἀλήθεια εὐήθεια προμήθεια. »

## 1496. — Λ 6. Λόγοι.

Χαρτ. 16 × 10 αἰῶν. ιη' (1734) φ. 318.

1. φ. 1α Τεῦχος α'. Πέτρου τοῦ Δαμασκηνοῦ Λόγοι (λόγος α' πενθικὸς τῷ πενθεῖν βουλομένῳ « Ἐν μιᾷ τῶν ἡμερῶν ὄρθρου βαθέως ἀναστάς) ».

2. φ. 183α Τεῦχος β'. Γρηγορίου τοῦ Σιναΐτου Κεφάλαια δι' ἀκροστιχίδος πάνυ ὠφέλιμα ὧν ἡ ἀκροστιχίς ἐστιν αὕτη : « Λόγοι διάφοροι περὶ ἐντολῶν, δογμάτων, ἀπειλῶν καὶ ἐπαγγελιῶν · ἔτι δὲ καὶ περὶ λογισμῶν καὶ παθῶν καὶ ἀρετῶν · ἔτι δὲ καὶ περὶ ἡσυχίας καὶ προσευχῆς ὧν ἡ ἀκροστιχὶς ἥδε ».

3. φ. ξη' Τοῦ αὐτοῦ ἕτερα Κεφάλαια (περὶ ἐμπαθοῦς ἀλλοιώσεως, περὶ ἀγαθῆς ἀλλοιώσεως, περὶ τῶν καθ' ὕπνους πειρασμῶν).

4. φ. σγ Τοῦ αὐτοῦ εἴδησις ἀκριβὴς περὶ ἡσυχίας καὶ προσευχῆς (Κεφ. ι').

5. φ. πα Τοῦ αὐτοῦ περὶ ἡσυχίας (ἐν Κεφ. ιε' — Περὶ τῶν δύο τρόπων τῆς προσευχῆς).

6. φ. ϟζ Τοῦ αὐτοῦ περὶ τοῦ πῶς δεῖ καθέζεσθαι τὸν ἡσυχάζοντα εἰς τὴν εὐχὴν καὶ μὴ ταχέως ἀνίστασθαι.

7. φ. ριζ Ἐκλογὴ ἐκ τῶν κεφαλαίων τοῦ ἁγίου Συμεὼν τοῦ νέου Θεολόγου πάνυ ὡραῖα καὶ ὠφέλιμα.

« Πίστις ἐστὶν τὸ διὰ Χριστὸν ἢ ὑπὲρ τῆς αὐτοῦ ἐντολῆς ἀποθανεῖν καὶ τὸν θάνατον τοῦτον ζωῆς πρόξενον εἶναι πιστεύειν. »

Ἐν τέλει · « Ἐγράφη τῷ ᾳψλδ' ».

## 1497. — Λ 7. Διάφορα.

Χαρτ. 15 × 10 αἰῶν. ις (1563) φ. 233 ἀκέφ.

1. φ. 1α Ἱππολύτου τοῦ Θηβαίου περὶ τῆς συγγενείας τῆς Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

« Ἐκ τῆς φυλῆς τοῦ Νάθαν υἱοῦ Δαυὶδ γεννᾶται Λευί. »

2. φ. 10α Διάλογος τῶν ἁγίων Βασιλείου καὶ Γρηγορίου τοῦ Θεολόγου.

« Βασίλειος · τί ἐστιν ἀρχή; — Γρηγόριος · τὸ πρῶτον αἴτιον τοῦ δευτέρου αἰτίου. »

3. φ. 12α Γρηγορίου τοῦ Θεολόγου περὶ τοῦ τριμεροῦς τῆς ψυχῆς καὶ περὶ τῶν πέντε αἰσθήσεων.

4. φ. 13α Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐξήγησις περὶ τοῦ Μελχισεδὲκ καὶ περὶ τοῦ Ἀβραάμ.

5. φ. 18α Ἐπιφανίου ἐπισκόπου Κύπρου περὶ αἱρέσεων.

« Ἰστέον ὅτι ἑκατόν εἰσιν αἱρέσεις · πασῶν δὲ τούτων μητέρες καὶ πρωτότυποι τέσσαρες · βαρβαρισμός, σκυθισμός, ἑλληνισμός, Ἰουδαϊσμός. »

6. φ. 19α Τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ Λόγος εἰς τὴν Κοίμησιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

« Τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. »

7. φ. 34α Λόγος ἀκέφαλος οὗ ἡ ἀρχή : « ἐκ Περσίδος ἐγνώσθη Χριστὸς ἀπ' ἀρχῆς · οὐδὲ γὰρ λανθάνει τοὺς ἐν αὐτῇ νομομαθεῖς ».

8. φ. 39α Ἰωάννου τοῦ Δαμασκηνοῦ περὶ τῆς θείας καὶ ἀκαταλήπτου Χριστοῦ Θεότητος καὶ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας · κατ' ἐρωταπόκρισιν.

9. φ. 42β Γενναδίου πατριάρχου ἐπιστολὴ τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κὺρ Μαξίμῳ τῷ κατὰ κόσμῳ Σοφιανῷ καὶ πᾶσι τοῖς ἐνασκουμένοις τῇ ἁγίᾳ μονῇ τοῦ Σινᾶ ὁσιωτάτοις ἱερομονάχοις καὶ μοναχοῖς

« Τιμιώτατε ἐν μοναχοῖς... αἱ γραφαὶ τῆς σῆς εὐλαβείας ἦλθον εἰς ἡμᾶς πρῶτον ἀνεωγμέναι καὶ παρ' ἡμῶν ἐπέμφθησαν πρὸς τὸν τιμιώτατον ἔξαρχον κὺρ Ἰωάννην..... Φεβρουαρίου ς'. Ὁ δοῦλος τῶν τίκνων τοῦ Θεοῦ ὁ ταπεινὸς Γεννάδιος. »

10. φ. 53α Ἑτέρα [τοῦ αὐτοῦ] « Τιμιώτατε ἐν μοναχοῖς κὺρ Ἰωακεὶμ ἐπειδὴ ἔλαθεν ἡμᾶς τοῦτο καὶ οὐκ ἐγράψαμεν ἐν τῷ Πιττακίῳ τῷ πρὸς τὴν ἁγίαν μονήν. »

11. φ. 54α Περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ. Χριστιανῶν τε καὶ Ἰουδαίων ἀμφιβαλόντων, καὶ τῶν μὲν χριστιανῶν λεγόντων ἐληλυθέναι τὸν Χριστόν, τῶν δὲ Ἰουδαίων οὔπω αὐτὸν ἐληλυθέναι ἀλλὰ μέλλειν ἔρχεσθαι, πόθεν αὐτοὺς πεῖσαι ὀφείλομεν ὅτι καὶ Θεός ἐστιν ὁ Χριστὸς καὶ ἦλθε καὶ ὅτι ἀληθής ἐστιν καὶ οὐ πλάνος, ὡς αὐτοὶ νομίζουσιν.

12. φ. 66α Ἐπιστολὴ Πέτρου Ἀντιοχείας πρὸς τον ἐπίσκοπου Βραδένης Ἀπηλεγένσης.

« Πολλῆς ἡμῖν εὐφροσύνης καὶ πνευματικῆς ἀγαλλιάσεως. »

13. φ. 83α Παράτιτλος περὶ τῶν Λατίνων ἤτοι τῶν Φραγγῶν πόθεν κατάγονται αἱ τούτων γενεαὶ καὶ περὶ τῆς αἱρέσεως αὐτῶν καὶ διατὶ ἀπεσχίσθησαν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. (Αὐτόθι « ἀπάντησις τοῦ πατριάχου κὺρ Γερμανοῦ πρὸς τοὺς ἀπὸ τοῦ πάπα σταλέντων φραιμενουρίου »).

14. φ. 124β Τοῦ ἁγίου Βασιλείου πρὸς μοναχὸν νέον νουθεσία.

15. φ. 129α Ἔκθεσις πίστεως ἐν ἐπιτομῇ.

16. φ. 131α Διήγησις περὶ τοῦ τέλους τοῦ κόσμου.

« Παρακαλῶ σε δοῦλε τοῦ Θεοῦ εἰπεῖν μοι πῶς τὸ τέλος τοῦ κόσμου τούτου καὶ πότε καὶ τίνα εἰσιν ἃ λέγουσιν ἀρχὴν ὠδίνων. »

17. φ. 183α Ὑπογραφὴ κεφαλαιώδης τοῦ τε τῆς οἰκουμένης πίνακος.

« Τῆς καθ' ἡμᾶς οἰκουμένης ἐν ἠπείροις διῃρημένης τρισίν. »

18. φ. 186α Ὑποδείγματα ἐπιστολῶν διαφόρων.

19. φ. 208α Μῦθοι διάφοροι καὶ ἑρμηνεία τούτων.

Ἐν ἀρχῇ · « Τὸ παρὸν βιβλιδάριον ἐγράφη διὰ χειρὸς ἐμοῦ Ἰγνατίου ἱερομονάχου τοῦ εὐτελοῦς ἐν ἔτει ζνα (1543) καὶ οἱ ἐντυγχάνοντες αὐτὸ εὔχεσθέ μοι διὰ τὸν Κύριον. »

Ἐν φ. 130 β « Βιβλίον Ἰγνατίου ἱερομονάχου τοῦ Λαυριώτου. »

Ἐν τέλει · « Ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ Ἰωάννης ἱερομόναχος ἐν μηνὶ Μαρτίῳ εἰς τὰς ις'... »

## 1498. — Λ 8. Γεροντικόν.

Χαρτ. 11 × 9 αἰῶν ιζ' φ. 240.

1. φ. 1α Τοῦ ἀββᾶ Ἡσαΐου ἐντολαὶ τοῖς ἀποταξαμένοις καὶ θέλουσι σωθῆναι.

2. φ. 59α Τοῦ ὁσίου Μακαρίου τοῦ Αἰγυπτίου Ὁμιλίαι πνευματικαὶ περὶ τῆς ὀφειλομένης καὶ σπουδαζομένης τοῖς χριστιανοῖς τελειότητος.

3. φ. 66α Γεροντικόν (ἐκ τοῦ ἀββᾶ Ἡσαΐου, ἀββᾶ Μάρκου καὶ ἄλλων).

4. φ. 130α Τοῦ ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου Λόγος περὶ τάξεως τῆς μοναχικῆς πολιτείας, συντομίας τε καὶ διαφορᾶς, πῶς τε καὶ ποίῳ τρόπῳ τίκτονται αἱ ἀρεταὶ ἐξ ἀλλήλων.

5. φ. 135α Ἀθανασίου πατριάρχου Ἀλεξανδρείας Λόγος διὰ κεφαλαίων πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ πᾶσι τοῖς ἀποταξαμένοις.

6. φ. 146α Γεροντικόν.

7. φ. 158α Πέτρου τοῦ Δαμασκηνοῦ ὑπόμνησις πρὸς τὴν ἑαυτοῦ ψυχὴν συλλέξαντος ταύτην ἐκ τῶν θείων Γραφῶν.

8. φ. 183α Γεροντικόν.

9. φ. 195α Βίος τοῦ ὁσίου Μάρκου τοῦ Ἀθηναίου τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θράκης τῆς οὔσης ἐκεῖθεν τῶν ἐνδοτάτων μερῶν τῆς εἰσόδου Αἰθιοπίας ἐκεῖθεν τοῦ ἔθνους τῶν Χεταίων.

10. φ. 207α Γεροντικόν. (Βαρσανουφίου, Ἡσυχίου καὶ ἄλλων.)

## 1499. — Λ 9. Γεροντικόν.

Χαρτ. 14 × 11 αἰῶν. ιζ' φ. 168.

Γεροντικόν (ἐν ἀρχῇ ἔχον λόγον κατανυκτικόν).

## 1500. — Λ 10. Γραμματική.

Χαρτ. 15 × 10 αἰῶν. ιζ' φ. 152.

Γραμματικὴ Λασκάρεως.

Ἐν τέλει · « Ἰεσσαὶ ἱερομονάχου καὶ ἁμαρτωλοῦ πολλά ».

## 1501. — Λ 11. Διάφορα.

Χαρτ. 15 × 9 αἰῶν. φ. 360.

1. φ. 1α Βίος καὶ πολιτεία τοῦ ὁσίου Πέτρου, τοῦ ἀσκήσαντος εἰς τὸ θαυμαστὸν καὶ ἅγιον ὄρος.

« Καὶ νὰ διηγῆταί τινας ἐγγράφως. »

2. φ. 80α Ἐγκώμιον διηγηματικὸν εἰς τὸν ἅγιον θεόστεπτον καὶ μέγαν βασιλέα Κωνσταντῖνον ἁπλῇ φράσει.

3. φ. 268α Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος τοῦ Χριστοῦ Αἰκατερίνης πεζῇ φράσει.

4. φ. 310α Διήγησις περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ὄφεως.

5. φ. 323α Ἱστορία Διονυσίου ἱερομονάχου τοῦ ῥήτορος τοῦ ἀσκοῦντος ἐν τῇ Σκήτῃ τῆς Λαύρας.

6. φ. 336α Ἐκ τοῦ Γεροντικοῦ λόγοι ὠφέλιμοι περὶ τοῦ ἁγίου Κωνσταντίνου.

7. φ. 337α Ἀββᾶ Ἰσαὰκ Λόγος πρὸς ἀρχαρίους μοναχούς.

8. φ. 344α Βασιλείου τοῦ μεγάλου Λόγος

ἀσκητικὸς πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν, μεταφρασθεὶς παρὰ Διονυσίου ἱερομμονάχου τοῦ Στουδίτου εἰς τὸ κοινότερον εἰς ὠφέλειαν.

9. φ. 348α Παραίνεσις εἰς ἀρχαρίους μοναχοὺς καὶ ἀγραμμάτους.

10. φ. 349α Μακαρίου μοναχοῦ τοῦ Αἰγυπτίου Διήγησις πάνυ ὠφέλιμος.

## 1502. — *Λ 12. Θηκαρᾶς.

Χαρτ. 15 × 10 αἰῶν. ιζ' φ. 251 ἀκέφ. κολοβ.

Θηκαρᾶ μοναχοῦ ὕμνοι καὶ εὐχαί.

Ἐν φ. 79 α « Κυρίλλου μοναχοῦ 1606 Φεβρουαρίου κζ' ».

## 1503. — Λ 13. Θηκαρᾶ.

Χαρτ. 15 × 9 αἰῶν. ιη' φ. 333.

Θηκαρᾶ μοναχοῦ ὕμνοι καὶ εὐχαί.

## 1504. — Λ 14. Διάφορα.

Χαρτ. 15 × 10 αἰῶν. ιη' φ. 244.

1. φ. 1α Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Ματθαίου τοῦ Καμαριώτου ρητορικῆς ἐπιτομῆς ἐκ τῶν τοῦ Ἑρμογένους.

2. φ. 93α Μιχαὴλ Συγγέλου τοῦ Ἱεροσολυμίτου περὶ συντάξεως τῶν ὀκτὼ τοῦ λόγου μερῶν συνοπτικώτερον.

3. φ. 118α Διονυσίου Γραμματικοῦ τοῦ Θρακὸς περὶ τέχνης.

4. φ. 126α Γεωργίου τοῦ Χοιροβοσκοῦ τοῦ Βυζαντίου περὶ προσωδιῶν.

5. φ. 152α Μελετίου Γραμματικοῦ περὶ ἑρμηνείας στοιχείων, περὶ ἡρωϊκοῦ μέτρου (φ. 154), περὶ τοῦ ἰαμβικοῦ μέτρου (φ. 155), περὶ τοῦ ἐλεγειακοῦ μέτρου (φ. 156), περὶ ὅρου, περὶ τέχνης (φ. 165), περὶ προλεγομένων (φ. 170).

6. φ. 176α Θεοδοσίου Ἀλεξανδρέως περὶ ὀρθογραφίας.

7. 178α Μελετίου Γραμματικοῦ περὶ συντάξεως.

8. φ. 179α Τρύφωνος Γραμματικοῦ περὶ παθῶν τῶν λέξεων, περὶ δισυλλάβων, τρισυλλάβων, καὶ τετρασυλλάβων ποδῶν, περὶ μέτρων ποδῶν, περὶ ἰαμβικοῦ (φ. 187).

9. φ. 216α Δημητρίου τοῦ Τρικλινίου Γραμματική.

10. φ. 219α Ὑπόθεσις τῆς α' Ὁμήρου ραψωδίας καὶ ραψωδία α' (φ. 220).

11. φ. 235 Ὁμήρου Βατραχομυομαχία.

## 1505. — Λ 15. Λόγοι.

Χαρτ. 14 × 9 αἰῶν. ιζ' φ. 162 κολοβ.

1. φ. 1α Δαμασκηνοῦ ἐπισκόπου Λιτῆς καὶ προέδρου Πολυανῆς παραίνεσις πρὸς τοὺς θέλοντας σωθῆναι μοναχοὺς ὡς ἐν συνόπτῳ.

2. φ. 24α Τοῦ ἁγίου Ἐφραὶμ Λόγος περὶ τῆς ἀνυποκρίτου ἀγάπης.

3. φ. 34α Περὶ τοῦ σφραγίσαντος τὸν δαίμονα διήγησις.

4. φ. 42α Ἀββᾶ Ἰσαὰκ Λόγος πρὸς ἀρχαρίους μοναχοὺς μεταφρασθεὶς παρὰ Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου.

5. φ. 47α Βασιλείου τοῦ μεγάλου Λόγος ἀσκητικὸς πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν.

6. φ. 51α Τοῦ αὐτοῦ Λόγος περὶ ἀκτημοσύνης.

7. φ. 54α Περὶ Ἰωάννου συμμαθητοῦ τοῦ Ἐπιφανίου.

8. φ. 79α Ἐκ τοῦ βίου ἁγίου Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ, ἀρχὴ ὠδίνων περὶ τῆς Κ/πόλεως καὶ περὶ τῆς τοῦ κόσμου συντελείας — καὶ περὶ τῆς βοηθείας τοῦ χειμῶνος (φ. 135α).

Ἐν ἀρχῇ · « Τὸ παρὸν ὑπάρχει κἀμοῦ Παρθενίου ἱερομονάχου καὶ Λαυριώτου τοὐπίκλην Βεργοπούλου ἐκ κώμης Γρανύτζας ».

## 1506. — Λ 16. Περὶ ἀντιχρίστου.

Χαρτ. 14 × 9 αἰῶν. ιη' (1755) φ. 125.

1. φ. 1α Περὶ τοῦ ἀντιχρίστου ὅς ἐστιν ὁ Μωάμεθ καὶ ὁ πάπας.

2. φ. 119α Ὑποδείγματα ἐπιστολῶν (εἰς πατριάρχην, μητροπολίτην, ἐπίσκοπον, ἱερομόναχον, ἄρχοντας κλπ).

Ἐν ἀρχῇ · « Τοῦτο τὸ βιβλίον ὑπάρχει ἐμοῦ Ἀναγνώστη Δενδρινοῦ » · ἐν φ. 119 « Ἐτελειώθη ἐν ἔτει αψνε' (1755) Μαΐου ιδ ».

## 1507. — Λ 17. Βίος Φωκᾶ ἐπισκόπου Σινώπης.

Χαρτ. 15 × 10 αἰῶν. ιζ' (1678) φ. 139.

1. φ. 1α Βίος καὶ μαρτύριον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φωκᾶ ἐπισκόπου Σινώπης, τοῦ ἀπὸ Σινώπης.
« Ἐὰν καὶ ἄλλα κάστρη. »

2. φ. 57α Ἀπόκρισις μικρά τις τοῦ μεγάλου ρήτορος τῆς μεγάλης ἐκκλησίας Μπαλασίου πρὸς τοὺς ἐρωτήσαντας ποῦ δεῖ τίθεσθαι τὴν μερίδα τῆς παναγίας ἐν τῇ ἱερᾷ προσκομηδῇ.

Ἐν τέλει · « Ἐν ἔτει σωτηρίῳ αχοη (1678) μηνὶ Μαρτίῳ ε' διὰ χειρὸς Ἱεροθέου ἐλαχίστου ἱερομονάχου καὶ προηγουμένου τῆς θείας καὶ μεγίστης βασιλικῆς μονῆς Λαύρας».

**1508. — Λ 18. Κατήχησις.**

Χαρτ. 14×9 αἰῶν. ιζ' φ. 274.

1. φ. 1α Χριστιανικὴ Κατήχησις · εἰς δόξαν τοῦ φιλανθρώπου Θεοῦ πατρός, Ἰησοῦ Χριστοῦ καὶ ἁγίου Πνεύματος καὶ τιμὴν βοήθειάν τε τῶν φιλοθέων Ρωμαίων · ἐγράφη ὑπὸ Ζαχαρίου Γεργάνου εὐγενοῦς ἐκ τῆς περιφήμου Ἄρτης.
(Ἐν ἀρχῇ σημειοῖ περὶ τῆς Κατηχήσεως ταύτης ὁ Ἀλέξανδρος Λαυριώτης τάδε : « Ὁ κ. Σάθας ἐν τῇ Νεοελληνικῇ σ. 308 λέγει ὅτι ἡ κατήχησις αὕτη περιέχουσα Λουθηροκαλβινικὰ δόγματα ἀνετράπη διὰ μακρῶν ὑπὸ Ματθαίου Καρυοφύλλη ».)
2. φ. 190α Ἑρμηνεία τῶν Ἀντιφώνων τοῦ α' ἤχου.
3. φ. 207α Ἑρμηνεία τῆς α' ραψωδίας τῆς Ὀδησσείας.
4. φ. 225α Ἑρμηνεία ψαλμῶν τοῦ Δαυίδ.
5. φ. 261α Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλέως ἔκθεσις περὶ ἐπιστολικῶν τύπων · ἡ δὲ ἐξήγησις ἐδόθη παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου κυρίου Δημητρίου τοῦ Μπενιζέλου.
6. φ. 274α Ἐξήγησις ἐπιστολῶν τοῦ Συνεσίου.

Ἐν τέλει · « Καὶ τόδε κτῆμα Ἰακώβου ἱεροδιακόνου ».

**1509. — Λ 19. Διάφορα.**

Χαρτ. 15×9 αἰῶν. ιζ' φ. 135.

1. φ. 1α Στιχολογία τῶν ᾠδῶν ἡ μεγάλη.
2. Ἔντυπον. Ἐκλογαὶ ἤτοι βιβλιάριον περιέχον τοὺς Οἴκους τῆς παναγίας καὶ τοῦ τιμίου Προδρόμου, τὴν Μετάληψιν ἐξηγητήν, στίχους εἰς τὴν μακαρίαν Τριάδα, ἑτέρους εἰς τὴν ἁγίαν καὶ μεγάλην Παρασκευὴν ἅπαντα τυπωθέντα καὶ διορθωθέντα παρὰ Ἀκακίου ἱερομονάχου τοῦ Διακρούσση τοῦ ἐκ τῆς νήσου Κεφαληνίας ἀναλώμασι Νικολάου Ἀναστάση. Ἑνετίῃσιν, παρὰ Ἀνδρέα τῷ Ἰουλιανῷ αχξε' (1665).
3. φ. 1α Λόγος περὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου πάνυ ὠφέλιμος.
« Ἀκούσατε μίαν διήγησιν περὶ τοῦ ἁγίου Ἀντωνίου. »
4. φ. 17β Διήγησις πάνυ ὠφέλιμος.
5. φ. 28α Ὑπόμνημα περὶ τοῦ ἁγίου Ὄρους τοῦ Ἄθω καὶ περὶ τῶν κτητόρων τῆς σεβασμίας καὶ βασιλικῆς μονῆς τῶν Ἰβήρων καὶ περὶ τῆς ἁγίας καὶ προσκυνητῆς εἰκόνος τῆς Θεοτόκου τῆς Πορταϊτίσσης καὶ ὅθεν καὶ ὅπως καὶ κατὰ τίνα τρόπον εἰσῆλθεν ἐν ταύτῃ τῇ μονῇ καὶ μερικὴ θαυμάτων διήγησις.
« Ἐν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου καὶ ἀοιδίμου βασιλέως Κωνσταντίνου τοῦ μεγάλου. »
6. φ. 66α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.
7. φ. 84α Ἀρχὴ σὺν θεῷ ἁγίῳ λόγοι ὠφέλιμοι καὶ ψυχωφελεῖς εἰς πάντα χριστιανὸν ὀρθόδοξον καὶ εὐσεβῆ, ἤγουν ἡ δεκάλογος ἣν ἔδωκεν ὁ Θεὸς τῷ θεράποντι αὐτοῦ καὶ προφήτῃ Μωϋσῇ, ὅπερ πρέπει πᾶς χριστιανός νὰ τὸ ἀναγινώσκῃ καθ' ἑκάστην ἡμέραν πρὸς ὠφέλειαν ψυχῶν καὶ σωτηρίαν αὐτῶν.
« Δέκα παραγγελίας εἶναι ὅπου ὥρισεν ὁ Θεὸς τὸν Μωϋσῆν. »

**1510. — Λ 20. Διήγησις μυθική.**

Χαρτ. 14×9 αἰῶν. ιζ' (1606) φ. 102.

Διήγησις μυθικὴ Στεφανίτου καὶ Ἰχνηλάτου.
« Χοσρόης τῆς Περσίας ὁ βασιλεύς ».

Προηγοῦνται Στίχοι εἰς τὴν μυθικὴν διήγησιν.
Ἐν τέλει · « Ἐτελειώθη δὲ παρ' ἐμοῦ τοῦ Μιχαὴλ Ἀνδρίστου κατὰ τὸ αχς' (1606) ἔτος Ὀκτωβρίου ς' ».

**1511. — Λ 21. Στίχοι.**

Χαρτ. 14×10 αἰῶν. ιζ' φ. 96.

1. φ. 1α Τὰ περιεχόμενα εἰς τὰ κεφάλαια τοῦ Ματθαίου διὰ στίχων ἰάμβων.
2. φ. 8α Τὰ περιεχόμενα ἐν τοῖς κεφαλαίοις Λουκᾶ διὰ στίχων ἡρωϊκῶν.
3. φ. 16α Τὰ περιεχόμενα ἐν τοῖς κεφαλαίοις Μάρκου διὰ στίχων ἡρωελεγείων.
4. φ. 20α Τὰ περιεχόμενα ἐν τοῖς κεφαλαίοις Ἰωάννου διὰ στίχων ἰάμβων.
5. φ. 25α Εἰς τὰς Πράξεις τῶν ἀποστόλων Λουκᾶ διὰ στίχων ἡρωϊκῶν.
6. φ. 29α Εἰς τὴν Ἀποκάλυψιν διὰ στίχων ἰάμβων.
7. φ. 33α Κεφάλαια διὰ στίχων ἑξαμέτρων ἡρωϊκῶν εἰς τὴν Γένεσιν.
8. φ. 37α Γενναδίου Ὁμολογία τῆς ὀρθοδόξου πίστεως.
9. φ. 49α Δημητρίου Φαληρέως περὶ ἑρμηνείας.
« Ὥσπερ ἡ ποίησις διαιρεῖται τοῖς μέτροις ».

**1512. — Λ 22. Λεξικόν.**

Χαρτ. 15×10 αἰῶν. ις'.

1. Ἀρχὴ σὺν Θεῷ τοῦ Λεξικοῦ τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας κατὰ στοιχεῖον.
2. Λέξεις ἐγκείμεναι τοῖς ἁγίοις εὐαγγελίοις, ἐν ταῖς Πράξεσιν · λέξεις ἀποστολικαί — λέξεις τῆς Χριστοῦ γεννήσεως, τῶν Φώτων καὶ τῆς Πεντηκοστῆς — λέξεις τῶν Παροιμιῶν τοῦ Σολομῶντος — λέξεις τῶν ρν' ψαλμῶν τοῦ ψαλτηρίου.

### 1513. — Λ 23. Διάφορα.

Χαρτ. 15 × 10 αἰῶν. ιϛ' (1560) φ. 256.

1. φ. 1α Ὁμήρου Ραψωδίαι. Ἰλιάδος Β, Γ, Δ, Ε, Ζ, Η, Θ, Ι.
2. φ. 167α Ἡσιόδου τοῦ Ἀσκραίου ἔργα καὶ ἡμέραι.
3. φ. 194α Ἔπη τοῦ Πυθαγόρου.
4. Στίχοι Σιβύλας τῆς Ἐρυθραίας περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔχοντες ἀκροστιχίδα τὴν δε : « Ἰησοῦς Χριστὸς Θεοῦ υἱὸς σωτὴρ σταυρός ».
5. φ. 263α Νείλου μοναχοῦ ἡρωελεγεῖοι · κεφάλαια μεταληφθέντα ἐκ τῆς βίβλου τῶν ἀποφθεγμάτων καὶ πράξεων τῶν ὁσίων ἡμῶν πατέρων, ἧς ἡ ἐπιγραφὴ παράδεισος.
« Ἀνθεμόεις παράδεισος ὁ τῶν ἁγίων χορός ἐστιν. »

Ἐν τέλει · « Ἔτος ζξη' (1560) Θεοδοσίου ἱερομονάχου διὰ χειρὸς ἐγράφη τὸ παρὸν βιβλίον ».

### 1514. — Λ 24. Πέτρου Δαμασκηνοῦ.

Χαρτ. 16 × 10 αἰῶν. ιϛ' φ. 229.

1. φ. 1α Ἀρχὴ σὺν Θεῷ τῆς ὑποθέσεως τοῦ παρόντος βιβλίου τῆς ἐχούσης μὲν τὴν ἀνάμνησιν τῆς ἰδίας ψυχῆς ὑπὸ δὲ εὐχῶν πατέρων συνεγράφη Παύλου τε φημὶ καὶ Μάρκου σὺν Θωμᾷ καὶ Ἰωάννῃ, ἅμα Ἰακώβῳ, Λουκᾷ τε καὶ Μακαρίῳ πρὸς ὃν ἐστάλη αὕτη παρὰ μοναχοῦ τοῦ Δαμασκηνοῦ Πέτρου, συνεργίᾳ δὲ τριῶν ἀρχιερέων, ὧν αἱ εὐχαὶ συνήργησαν τῷ λόγῳ, τῇ δὲ συμβουλῇ ὠφέλησαν μεγάλως.
2. φ. 155α Πέτρου τοῦ Δαμασκηνοῦ Λόγοι συνοπτικοὶ κδ' κατ' αβ πλήρεις ὄντως πνευματικῆς γνώσεως.
« Πρόλογος ἰδοὺ καὶ ἄλφα τὸ στοιχεῖον
τὴν πνευματικὴν περιέχει σοφίαν »

### 1515. — Λ 25. Ψαλτήριον.

Χαρτ. 15 × 9 αἰῶν. ιϛ' φ. 304.

1. φ. 1α Ψαλτήριον.
2. φ. 296α Λέξεις τῶν ρν' ψαλμῶν.

### 1516. — Λ 26. Βίοι ἁγίων.

Χαρτ. 21 × 14 αἰῶν. ιη' φ. 298.

1. φ. 1α Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐπραξίας μεταφρασθεὶς εἰς τὴν κοινὴν γλῶτταν παρὰ Ἰγνατίου ἱερομονάχου.
2. φ. 73α Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος Εἰρήνης.
3. φ. 123α Λόγος εἰς τὸ « ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ ».
4. φ. 136α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἰωάννου τοῦ Καλυβίτου.
5. φ. 154α Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης.
6. φ. 179α Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος μεταφρασθὲν εἰς τὴν κοινὴν γλῶτταν παρὰ Ἰγνατίου τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου.
7. φ. 220α Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Χαραλάμπους.
8. φ. 246α Δαμασκηνοῦ ὑποδιακόνου καὶ Στουδίτου Λόγος πεζῇ φράσει εἰς τὴν δεκάλογον τοῦ Μωϋσέως.
9. φ. 263α Βίος καὶ πολιτεία τοῦ ἁγίου Φιλαρέτου τοῦ Ἐλεήμονος.
« Βίον ἀρεστὸν τῷ Θεῷ. »

### 1517. — Λ 27. Βίος Ἀθανασίου.

Χαρτ. 21 × 14 αἰῶν. ιη' φ. 194.

Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ καὶ ἐκ τῶν διακρίσεων καὶ οἰκονομιῶν καὶ θαυμάτων αὐτοῦ μεταφρασθεὶς εἰς ἁπλῆν καὶ ἰδιωτικὴν διάλεκτον.

Ἐν ἀρχῇ · « Αὐτὸς ὁ βίος τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου ἐπειδὴ καὶ εἶνε εἰς ἁπλῆν φράσιν εἶνε καὶ ἁρμόδιον νὰ ἀναγινώσκηται εἰς τὴν ἐκκλησίαν του ὅπου ποιοῦσιν ἀγρυπνίαν οἱ ἀσκηταὶ μέσα εἰς τὸ σκευοφυλάκιον ».

### 1518. — Λ 28. Κατηχήσεις.

Χαρτ. 21 × 16 αἰῶν. ιζ' φ. 146.

1. φ. 1α Βίος καὶ πολιτεία Θεοδώρου τοῦ Στουδίτου.
« Πολλὰς ἀμοιβὰς Θεόδωρε τρισμάκαρ
βίου μεταστὰς ὡς βιοὺς εὖ προσδόκα.
Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου ».
2. φ. 2α Θεοδώρου τοῦ Στουδίτου Λόγοι Κατηχητικοὶ (48).
3. φ. 139α Ἰωάννου Χρυσοστόμου Λόγος παραινετικὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ.
4. φ. 141α Τοῦ αὐτοῦ τῇ Κυριακῇ τοῦ πάσχα.
5. φ. 143α Συμεὼν τοῦ νέου Θεολόγου παραίνεσις.
« Ἀδελφοὶ ὁ μηδὲν ἐπταικὼς Κύριος. »

### 1519. — Λ 29. Διάφορα.

Χαρτ. 20 × 15 αἰῶν. ιζ' φ. 114 κολοβ.

1. φ. 1α Γεωργίου Νικομηδείας μητροπολίτου Λόγος εἰς τὸ « εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ » καὶ εἰς τὸ σωτήριον πάθος καὶ εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
« Πρὸς ὑψηλοτάτην ἡμῖν ἀναδραμών. »

2. φ. 21α Λόγος εἰς τὸ « τῇ δὲ ἐπαύριον ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν ».

« Πανταχοῦ ἡ πλάνη ἑαυτὴν περιπείρει. »

3. φ. 25α Λόγος εἰς τὸ « πορευομένων δὲ αὐτῶν ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀνήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα ».

« Διὰ τούτους τοὺς στρατιώτας ὁ σεισμός. »

4. φ. 29α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἰωάννου τοῦ Δαμασκηνοῦ συγγραφεὶς παρὰ Ἰωάννου πατριάρχου Ἀντιοχείας.

« Τοῖς τετηρηκόσι τὸ κατ' εἰκόνα Θεοῦ ἀρρύπωτον. »

5. φ. 58α Βίος καὶ πολιτεία καὶ ἄθλησις τῆς ἁγίας ὁσιομαρτυρος Εὐγενίας καὶ τῶν αὐτῆς γονέων.

« Κομόδου κατὰ Μάρκον τὸν αὐτοῦ πατέρα ».

6. φ. 89α Μαρτύριον τῶν ἁγίων μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου.

« Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. »

## 1520. — Λ 30. Θηκαρᾶς.

Χαρτ. 21 × 15 αἰῶν. ιζ' φ. 159.

Ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ.

Ἐν τέλει · « Θεοῦ τὸ δῶρον καὶ ἐν πνευματικοῖς ἐλαχίστου Ματθαίου πόνος.

Τὸ παρὸν βιβλίον ὑπάρχει καμοῦ Παγκρατίου ἱερομονάχου καὶ προηγουμένου τῆς ἁγίας Λαύρας καὶ ὅποιος τὸ ἀποξενώσει ἀπ' ἐμοῦ δίχως τὸ ἐμὸν θέλημα νὰ ἦνε ἀφορισμένος... 1667 ».

## 1521. — *Λ 31. Διάφορα.

Χαρτ. 19 × 14 αἰῶν ιη' (1752) σελ. 437.

1. σ. 1 Καθολικὴ καὶ ἀποστολικὴ διδασκαλία καὶ πρὸς τοὺς θέλοντας θεαρέστως ζῆν ἄνευ ἀσθενείας σωματικῆς καὶ κατεπειγούσης βίας · Ἐκ τοῦ πατερικοῦ.

2. σ. 2 Θεοφυλάκτου Βουλγαρίας ἑρμηνεία τοῦ πάτερ ἡμῶν.

3. σ. 3 Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῶν Ἰνδῶν λεγομένης μετενεχθεῖσα πρὸς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ διὰ Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ μονῆς τοῦ ἁγίου Σάββα.

4. σ. 377 Ἰωάννου τοῦ Δαμασκηνοῦ ἐκ τοῦ τρίτου περὶ εἰκόνων λόγου διάφορα θεωρήματα ὧν τὰ μὲν περὶ εἰκόνος, τὰ δὲ περὶ προσκυνήσεως.

« Πρῶτον τί ἐστιν εἰκών; εἰκὼν μὲν οὖν ἐστιν ὁμοίωμα καὶ παράδειγμα. »

5. σ. 384 Συμεὼν Θεσσαλονίκης περὶ τοῦ συμβόλου τῆς πίστεως.

6. σ. 393 Κανὼν ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον κατὰ πασῶν τῶν αἱρέσεων ποίημα Ἰωάννου τοῦ Ζωναρᾶ οὗ ἡ ἀκροστιχὶς · « ὕστατος ἦχος ὕστατον πλέκει μέλος » (Ἦχος πλ. δ').

7. σ. 400 Τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Νεκταρίου περὶ τῶν ἀρχῆθεν αἰτιῶν τοῦ σχίσματος τῶν Ἰταλῶν ἐν σχήματι κανόνος καὶ καθισμάτων (Ἦχος πλ. δ' Ὑγρὰν διοδεύσας : « Τὸ σχίσμα Λατίνων ἔσχεν ἀρχήν »).

8. σ. 409 Ἕτερος Κανὼν κατὰ Λατίνων καὶ κατὰ πασῶν τῶν αἱρέσεων πονηθεὶς Ματθαίῳ τῷ ταπεινῷ μητροπολίτῃ Μυρέων (Ἦχος πλ. δ. Ἁρματηλάτην · (Τῶν Ἰταλῶν τῆς πονηρᾶς αἱρέσεως »).

9. σ. 419 Ἀθανασίου ἱερέως Ἀμβρακίου διάλογος ἐν ᾧ εἰσάγεται πάπας καὶ Πέτρος.

« Πάπας · ἄνοιξόν μοι τὰς πύλας Πέτρε τῷ σῷ πάπα ὃν ὁ Χριστὸς καὶ ὑπὲρ σὲ ἠγάπα...

« Πέτρος · πατὴρ σὺ πόθεν ἀρτίως ἀνεφάνης καὶ οὐρανοῦ πύλας οὕτω προφθάνεις... »

10. σ. 421 Ἕτερον Μελετίου τοῦ πρωτοσυγγέλου Σεργίου Κ/πόλεως ·

« Πάπας τις ἐγκυμονήσας
τίκτειν ἔμελλεν ὡς θῆλυ
τοὔνομα δὲ Ἰωάννα Ἰωάννης μετεκλήθη
καὶ γυνὴ σαφῶς γνωσθεῖσα τὸ παιδίον θηλάζει. »

11. σ. 421 Ἰατρεία τῆς καὶ ψυχῆς καὶ τοῦ σώματος πολλὰ ὠφελιμωτάτη.

12. σ. 423 Ἀπόδειξις ἀληθεστάτη περὶ τοῦ ἀναβαπτισμοῦ.

13. σ. 425 Ἐγκώμιον εἰς τὸν προφήτην Ἠλίαν.

« Εἶνε γνώμη κοινὴ ὅλων τῶν φιλοσόφων. »

14. σ. 432 Ἐκ τῶν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ ἐκ τῆς ἐκδόσεως τῆς ὀρθοδόξου πίστεως εἰς φύλλον νή περὶ ἀέρων ἤτοι ἀνέμων.

15. σ. 434 Ἐκ τῆς ἱστορίας τοῦ Κεδρηνοῦ Γεωργίου εἰς φύλ. 7 ἱστορία ἥ δε : « ὁ Ἀδὰμ τῷ ἑξακοσιοστῷ ἔτει μετανοήσας ἔγνω διὰ τῆς ἀποκαλύψεως τὰ περὶ τῶν ἐγρηγόρων καὶ τοῦ κατακλυσμοῦ ».

16. σ. 436 Αἱ αἰτίαι δι' ἃς ἑπτάκις τῆς ἡμέρας καὶ νυκτὸς προσευχόμεθα.

Ἐν σ. 437 « Πόθεν συνάγεται ὁ ἀριθμὸς τῶν ἐτῶν τῆς κοσμογενεσίας. Ἀπὸ Ἀδὰμ ἕως κατακλυσμοῦ ἔτη 2242 · ἀπὸ κατακλυσμοῦ ἕως πυργοποιΐας ἔτη 525 · ἀπὸ ταύτης ἕως Ἀβραὰμ 425 · ἀπὸ τούτου ἕως ἐξόδου Αἰγύπτου 435 · ἀπὸ ταύτης ἕως τῆς οἰκοδομῆς τοῦ ναοῦ 757 · ἀπὸ ταύτης ἕως μετοικεσίας Βαβυλῶνος 425 . ἀπὸ ταύτης ἕως Ἀλεξάνδρου 400 · ἀπὸ τούτου ἕως γεννήσεως Χριστοῦ 300.

Πόσους χρόνους ἔζησεν ὁ Ἰωάσαφ [ὁ αὐτοκράτωρ τοῦ Βυζαντίου Ἰωάννης ὁ Καντακουζηνός, ὁ διὰ τοῦ μοναχικοῦ σχήματος μετονομασθεὶς Ἰωάσαφ].

Πέμπτῳ μὲν καὶ εἰκοστῷ τῆς ἡλικίας ἔτει τὴν ἐπίλοιπον καταλιπὼν βασιλείαν καὶ τὸν ἀσκητικὸν ὑπελθὼν ἀγῶνα · πέντε δὲ καὶ τριάκοντα χρόνους ἐν τῇ πανερήμῳ ταύτῃ ἀσκήσας ὥσπερ τις ἄσαρκος τὴν ὑπὲρ ἄνθρωπον ἄσκησιν καὶ γίνονται ὅλοι χρόνοι ξ' (60).

Αἴνιγμα : « Ἔστι τι πτηνὸν μονοσύλλαβον πέλον
κλώνοις κάθηται μονοσυλλάβου δένδρου
καὶ κατεσθίει μονοσύλλαβον θήραν. »
(δρύς, γύψ, μῦς).

Ἔζων ὅτ' ἔζων πλὴν λόγου παντὸς δίχα
ἔθανον ἄρτι καὶ γέμω παντὸς λόγου

Ἐν σελ. 375 « αψνβ' (1752) Μαρτίου ιε' γέγονε κτέαρ Κωνσταντίνου Κορωνιοῦ. »

Ἐν σ. 422 « Ἀπριλίου ς' · ἔγραψε δὲ ὁ τῶν μαθητευόντων ἐλάχιστος Κωνσταντῖνος ὁ Πελοποννήσιος ὄντας εἰς τὸ σχολεῖον τῆς Σίφνου. »

Ἐν σ. 110 Εἰκὼν παριστῶσα τὸν ἅγιον Βαρλαὰμ διδάσκοντα τὸν Ἰωάσαφ · ἄνωθεν ὁ Χριστὸς μετὰ δύο ἀγγέλων.

### 1522. — Λ 32. Διάφορα.

Χαρτ. 21 × 15 αἰῶν. ιζ' φ. 127.

1. φ. 1α Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀντωνίου τοῦ μεγάλου συγγραφεὶς παρὰ Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.
2. φ. 69α Περὶ τῶν παθημάτων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
3. φ. 72α Ἐκ τοῦ Διαλόγου Γρηγορίου καὶ Πέτρου.
« Κατανόησον καὶ ἴδε ἀδελφὲ πῶς οἱ παλαιοὶ ἅγιοι. »
4. φ. 77α Ἰωάννου Χρυσοστόμου περὶ χειροτονίας.
5. φ. 81α Περὶ τοῦ σφαλομένου εἰς τὴν ἁγίαν προσκομιδήν.
6. φ. 82α Περὶ τῆς πορνευσάσης μοναχῆς πῶς ἐσώθη.
7. φ. 83α Διήγησις περὶ τῆς Μαρίας ὅπου ἔσφαξε τὰ δύο της τέκνα καὶ ὕστερον μετενόησε καὶ πῶς ἐπνίγη.
8. φ. 85α Περὶ τοῦ ἁγίου Παχωμίου περὶ τῆς ὑστερινῆς καταστάσεως τῶν ἀδελφῶν.
9. φ. 88α Βίος καὶ πολιτεία τοῦ ὁσίου Πέτρου τοῦ ἀσκήσαντος εἰς τὸ ἅγιον Ὄρος.
« Καὶ τὸ νὰ διηγῆται τινας ἐγγράφως τοὺς βίους. »
10. φ. 119α Ἑρμηνεία τοῦ πάτερ ἡμῶν.
11. φ. 124α Περὶ ἱερέως ἁμαρτήσαντος.

### 1523. — Λ 33. Νομοκάνων.

Χαρτ. 19 × 14 αἰῶν. ιη' (1712) φ. 263.

Νόμιμον πάνυ πλουσιώτατον νεωστὶ ἐκλεγὲν καὶ συντεθὲν ἐκ πολλῶν Νομίμων. (τὸ α' κεφ. περὶ κριτοῦ ἤτοι ἀρχιερέως τοῦ εἶναι εἰς πάντας συμπαθής, νὰ μὴ δὲν πιστεύῃ τινὸς χωρὶς νὰ ἐξετάζῃ — ἐν ὅλῳ κεφάλαια υκϐ.).

Ἐν φ. 261 ϐ « Χειρὶ εὐτελοῦς Ματθαίου ἱερομονάχου τάχα καὶ Λαυριώτου · ἐτελειώθη τὸ παρὸν ἐν ἔτει σωτηρίῳ αψιϐ (1712) Ἰανουαρίου 17 ».

### 1524. — Λ 34. Διάφορα.

Χαρτ. 20 × 14 αἰῶν. ιζ' φ. 196.

1. φ. 1α « Τιμολόγιον πάνυ ὡραῖον καὶ εὐγενικὸν » (ἤτοι γράμματα πρὸς τοὺς ἡγεμόνας τῆς Οὐγγροϐλαχίας καὶ τὸν οἰκουμενικὸν πατριάρχην).
2. φ. 70α Τάξις πρωτοκαθεδρίας τῶν πατριαρχῶν, μητροπολιτῶν, ἀρχιεπισκόπων · πόσοι μητροπολῖται ἔχουσι τὴν σήμερον ἐπισκοπάς — ποῖοι λέγονται ὑπέρτιμοι καὶ ἔξαρχοι καὶ ποῖοι ὑπέρτιμοι μόνον — περὶ τῶν ἀρχιερατικῶν ὀφφικίων τῶν ἱερομονάχων καὶ διακόνων — περὶ τῶν ὀφφικίων τῶν κοσμικῶν — περὶ τῶν ἐνεργειῶν τῶν ἀρχιερατικῶν ὀφφικίων — περὶ τὸ πῶς καὶ πότε ἐγένετο τὸ ἅγιον σύμϐολον — περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων — περὶ τῶν τοπικῶν συνόδων καὶ τῶν κανόνων αὐτῶν.
3. φ. 77α Στίχοι πρὸς συμϐουλὴν — περὶ τῆς νήσου Κύπρου καὶ τῶν ἐπαρχιῶν αὐτῆς.
4. φ. 80α Πανδεκτὴ ἥτις καλεῖται ἀπὸ τῶν ἰδιωτῶν ἁπανταχοῦ (αἱ λεγόμεναι πανταχοῦσαι · γράμματα τῶν μονῶν εἰς τοὺς ἁπανταχοῦ χριστιανοὺς πρὸς βοήθειαν αὐτῶν).
5. φ. 91α Πιτάκια τοῦ ἁγίου Γεωργίου τοῦ ἐν τῇ Σκύρῳ.
6. φ. 95α Ἑτέρα πανδεκτὴ ἤγουν ἁπανταχοῦ εἰς τουρκικὴν φράσιν.
7. φ. 98β Ἡ ἀλφάϐητος τοῦ Ὀξυρίχου.
8. φ. 99α Τοῦ ἀϐϐᾶ Νείλου στίχοι κατ' αϐ πρὸς ἀρχάριον μοναχόν.
« Ἀρχὴν ἀγαθὴν τὴν ξενητείαν ποιοῦ ».
9. φ. 99α Γνῶμαι μονόστιχοι κατὰ στοιχεῖον ἐκ διαφόρων ποιητῶν καὶ σοφῶν.
« Ἀνὴρ ὁ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε. »
10. φ. 99α Ἐπιφανίου Κύπρου ἱστορίαι ἐκ τῶν φυσιολογικῶν περὶ ζώων (Ἴδ. Migne, τομ. 43, φ. 517).
11. φ. 118α Τοῦ ἁγίου Ἐφραὶμ καὶ Πέτρου τοῦ Δαμασκηνοῦ ἑρμηνεία πρὸς νουθεσίαν.
12. φ. 122α Γράμματα πρὸς τὸν πάπαν ὑπὸ τοῦ καθηγουμένου τῆς μεγίστης Λαύρας ἔτος αχ.

Ἐν φ. 1 α « Τὸ παρὸν ὑπάρχει ἐμοῦ Ἰωσὴφ ἱερομονάχου » (αὐτόθι κεῖται ἐπίγραμμα εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου).

Ἐν τέλει · « Θεοῦ μὲν λόγοι καὶ πόνος τοῦδε
Θεῷ τὰ πάντα καὶ λόγοι τε καὶ κτίσις
ὅν σοι προσφέρω δῶρον εὐαγγελίου
τῇ φερεσϐίῳ Κόρῃ καὶ κεχαριτωμένῃ
καί μοι παράσχεις οὐρανοῦ κατοικίαν
τῷ δε τάλανι καὶ παναθλίῳ

Δῶρον τῶν τριῶν προσώπων τῆς Τριάδος χειρὸς δὲ φθαρτῆς καὶ ἁμαρτίας πλήρης Διονυσίου ἀθίου καὶ οἰκτροῦ, εὔχεσθε οἱ ἀναγινώσκοντες ».

Ἐν φ. 2 ϐ « Ἦλθεν ὁ βασιλεὺς εἰς τὴν Θεσσαλονίκην εἰς τοὺς αχο (1670). Ἐνθύμησις · ἔγινε ταραχὴ τοῦ ἁγίου ὄρους διὰ τὰ σιδηροκαύσια εἰς τοὺς αχξγ (1663) Ἰουλίου κ...

Ὅταν θέλῃς νὰ κάμῃς σταφυλαρμίαν ποίησον οὕτως · κόψον τὰ σταφύλια καὶ βάλε τα εἰς τὸν ἀέρα ἢ κατὰ γῆς νὰ κάμουν δύο ἡμέρας · ἔπειτα βάλε τα εἰς τὸ πιθάρι ἢ εἰς βουτζί, πάτον σταφύλια καὶ πάτον σινάπι · εἶτα ἐκείνην τὴν ἡμέραν πάτησον ἐκλεκτὰ γλυκέα σταφύλια καὶ εὐθὺς τὸν μοῦστον ὅπου θέλεις εὐγάλει βάλε ἅπαν εἰς τὸ πιθάρι, μανδήλην ψιλὸν καὶ βάλε τὸν μοῦστον στραγγιστὸν ἀνέσια καὶ σκέπασέ το μὲ κλαδὶ ἢ μὲ σπάρτα ὅσον νὰ βράσῃ εἶτα σκέπασέ το μὲ τὴν πλάκα.

Ἐν φ. 8 ϐ
« Εὕρηκε τέρμα τὸ παλαιὸν τὸ θεῖον
καὶ παῦλαν οὐχ εὕρηκε χεὶρ ἡ γραφέως ·
μοχθεῖ γὰρ πέρατα · φεῦ · ἕως πότε ·
ἄρα οὖν μέχρι τάφος δαμάσῃ ·
εἰς τοῦτό σοι δέδεκται Χριστέ μου Λόγε
τοῦ ζῆν ἀφορμὴν ἐκ τῶν χειρῶν μου ἔχειν ·
Χριστὲ μόνον μοι τὸ κράτος σου διδότω.

Χειρὶ τοῦδε καὶ οἱ ἀναγινώσκοντες αὐτὸ εὔχεσθε καὶ μὴ καταρᾶσθε, ὅτι οὐ καλλιγράφος ἤμην τὴν τάξιν καὶ τὴν θέαν, ἀλλ' ὡς κοινὸς τοῦ γράφειν καὶ ἀμαθὴς τὴν θέαν... »

'Εν τέλει ·

« Τροχός τις ἐστιν ἀστάτως πεπηγμένος
ὁ μικρὸς οὗτος καὶ πολύτροπος βίος ·
ἄνω κινεῖται καὶ περισπᾶται κάτω ·
οὐχ ἵσταται γὰρ κἂν δοκῇ πεπηγέναι ·
φεύγων κρατεῖται καὶ μένων ἀποτρέχει
σκιρτᾷ δὲ πολλὰ καὶ τὸ φεύγειν οὐκ ἔχει
ἕλκει καθέλκει τῇ κινήσει τὴν στάσιν
ὡς οὐδὲν εἶναι τὸν βίον διαγράφων
ἢ καπνὸν ἢ ὄνειρον ἢ ἄνθος χλόης. »

## 1525. — Λ 35. Νομοκάνων.

Χαρτ. 19 × 14 αἰῶν. ιζ' (1617) φ. 254.

Μανουὴλ Μαλαξοῦ Νομοκάνονον (ἐκ 315 Κεφαλαίων).

'Εν φ. 2 α « Ἤνυσται αὕτη ἡ βίβλος μετὰ πολλοῦ μόχθου ἐνταῦθα ἐν τῇ περιφήμῳ ἁγιωτάτῃ μητροπόλει τῶν ἑπταπύλων Θηβῶν, ἥτις ἐστιν ὁ ναὸς τοῦ αὐτοῦ ἐνδόξου ἀποστόλου καὶ πρωτομάρτυρος, ἐπὶ τοῦ καλῶς καὶ θεαρέστως ταύτην ἀρχιερατεύοντος τοῦ πανιερωτάτου καὶ θεοτιμήτου μητροπολίτου ὑπερτίμου καὶ ἐξάρχου πάσης Βοιωτίας καὶ τὸν τόπον ἔχων τοῦ Σίδης κὺρ Ἰωάσαφ, οὗ οἱ γεννήτορες εὐγενέστατοι, θεοφιλεῖς, ἐλεήμονες καὶ ἱερεῖς τίμιοι καὶ εὐλαβεῖς, Μακρὺς τὸ τούτου ἐπώνυμον καὶ ἡ ἐπίγειος πατρὶς αὐτοῦ ἡ θεοφύλακτος νῆσος Ζάκυνθος, παρ' ἐμοῦ τοῦ εὐτελοῦς καὶ ἐλαχίστου δούλου αὐτοῦ Μανουὴλ τοῦ Μαλαξοῦ υἱοῦ τοῦ πρώτου τιμιωτάτου Οἰκονόμου τῆς ἁγιωτάτης μητροπόλεως Ναυπλίου καὶ Ἄργους τοῦ ἐν ἱερεῦσι κυροῦ Δημητρίου ἐν ἔτει ζοα' ἰνδ. ς' ἀπὸ κτίσεως κόσμου, ἀπὸ δὲ τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου αφξβ (1562) μηνὶ Μαρτίῳ ε' ».

'Εν τέλει · « 'Εν ἔτει ζρκε' (1617) μηνὶ Ἰουνίῳ ιε' ».

## 1526. — Λ 36. Χρονογράφος.

Χαρτ. 21 × 15 αἰῶν. ιζ' φ. 212.

Χρονογράφος ἤτοι « σύνοψις ἱστοριῶν ἀρχομένη ἀπὸ τοῦ πρώτου βασιλέως ταύτης τῆς περιφήμου Κωνσταντινουπόλεως τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου μεγάλου Κωνσταντίνου μέχρι τῆς βασιλείας Κωνσταντίνου τοῦ Παλαιολόγου τοῦ ὑστερινοῦ βασιλέως αὐτῆς τῆς Κωνσταντινουπόλεως · πρὸς τούτοις διαλαμβάνουσα καὶ τὰς χάριτας ὅπου ἔδωκεν ὁ αὐτὸς μέγας Κωνσταντῖνος Σιλβέστρῳ πάπα Ρώμης, καὶ πῶς ἔκαμναν οἱ Ρωμαῖοι τὸν βασιλέα · καὶ περὶ τῶν ὀφφικίων τοῦ παλατίου καὶ πότε ἐκτίσθη ἡ Βενετία καὶ πόσοι τῶν Δουκῶν ὥρισαν αὐτήν, συναχθέντα πάντα ταῦτα ἐκ διαφόρων βιβλίων τὰ ἀναγκαιότερα καὶ γλυκύτερα καὶ εἰς πεζὴν φράσιν μεταγλωττισθέντα ἐνταῦθα ἐν τῇ αὐτῇ βασιλευούσῃ Κωνσταντινουπόλει, ἐπὶ τῆς πατριαρχείας τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἱερεμίου, παρ' ἐμοῦ τοῦ εὐτελοῦς δούλου αὐτοῦ Μανουὴλ τοῦ Μαλαξοῦ ἐν ἔτει ζπγ (1575) ἀπὸ κτίσεως κόσμου, ἀπὸ δὲ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ αφοε μηνὶ Ἀπριλίῳ δεκάτῃ τρίτῃ ».

(Φθάνει μέχρι τῆς βασιλείας τοῦ Σουλτὰν Σελήμη τοῦ ια' βασιλέως, ὁπότε ἐμαρτύρησε καὶ ὁ ἅγιος νεομάρτυς Θεόδωρος, ὁ ἐξ Ἀλβανιτίας ἐν ἔτει αφπθ ἐν μηνὶ Ἰουνίῳ η'. »)

## 1527. — Λ 37. Θηκαρᾶς.

Χαρτ. 21 × 15 αἰῶν. ις' (1563) φ. 175.

Θηκαρᾶ μοναχοῦ Ὕμνοι καὶ εὐχαί.

'Εν τέλει ·

« Ἡ βίβλος ἔσχεν ἧδε σὺν Θεῷ πέρας
πόνῳ τάλανος Δανιὴλ ρακενδύτου
μηνὶ Σεπτεμβρίῳ κθ' ζοα » (1563).

## 1528. — Λ 38. Νηπτικά.

Χαρτ. 20 × 13 αἰῶν. ις' φ. 270 ἀκέφ.

1. φ. 1α Περὶ τῆς ἱερᾶς τοῦ νοὸς ἡσυχίας β' ἑκατοντὰς καὶ περὶ νοῦ καθαρότητος.
2. φ. 43α Ἡσυχίου πρεσβυτέρου τοῦ ἁγίου ὄρους τῆς Βάτου πρὸς Θεόδουλον λόγοι ψυχωφελεῖς περὶ νήψεως καὶ ἀρετῆς κεφαλαιώδεις (ἑκατοντάδες δύο).
3. φ. 60α Ἐκλογὴ ἐκ τῶν κεφαλαίων Μαξίμου τοῦ ὁμολογητοῦ ἐκ τῶν περὶ ἀγάπης Κεφ. ξα'.
4. φ. 68α Ἠλία ἐκδίκου μητροπολίτου Κρήτης πρακτικὰ καὶ θεωρητικὰ Κεφάλαια ιγ'.
5. φ. 74α Ἐκ τῶν Κεφαλαίων τοῦ μακαρίου Ἰωάννου τοῦ Καρπάθου.
6. φ. 77α Ἐκ τῶν Κεφαλαίων Θεογνώστου ἱερομονάχου Κεφάλαια ὡραιότατα.
7. φ. 82α Τοῦ ἁγίου Μακαρίου ἐκλογὴ ἐκ τῶν Κεφαλαίων.
8. φ. 87α Βασιλείου τοῦ μεγάλου εἰς τὸν λη' ψαλμὸν (ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ τοῖς εὐθέσι πρέπει αἴνεσις).
9. φ. 88α Τοῦ ὁσίου Μάρκου Κεφάλαια περὶ νήψεως · καὶ τοῦ ἁγίου Ἰσαάκ, Διαδόχου καὶ τοῦ Κλίμακος ἔτι καὶ ἑτέρων ἁγίων πατέρων Κεφάλαια συντείνοντα καὶ συμφωνοῦντα εἰς τὴν αὐτὴν ἔννοιαν τῆς προσευχῆς, καὶ τοῦ μεγάλου Βασιλείου.
10. φ. 111α Ἰσαὰκ τοῦ Σύρου Λόγος ἐν τίνι διαφυλάττεται τὸ κάλλος τῆς μοναχικῆς πολιτείας.
11. φ. 112α Φιλοθέου μοναχοῦ τῆς ὑπεραγίας Θεοτόκου τῆς Βάτου ἐν Σινᾷ περὶ φυλακῆς καρδίας πάνυ ὡραῖα Κεφάλαια ε'.
12. φ. 114α Ἡσυχίου πρεσβυτέρου τοῦ ἁγίου Ὄρους τῆς Βάτου περὶ νήψεως καὶ ἀντιρρητικὰ Κεφάλαια η'.
13. φ. 115α Τοῦ ὁσίου Μάρκου περὶ νόμου πνευματικοῦ Κεφάλαια κ'.
14. φ. 117α Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου Κεφ. β' περὶ καθάρσεως ψυχῆς καὶ ἑρμηνεία τοῦ « εἰρηνεύετε ἐν ἑαυτοῖς. »
15. φ. 118α Ἰσαὰκ τοῦ Σύρου Κεφ. β' περὶ εὐχῆς.
16. φ. 118α Μαξίμου τοῦ ὁμολογητοῦ περὶ προσευχῆς καὶ φαντασίας καὶ περὶ ἀγάπης ἐκ τῆς β' ἑκατοντάδος Κεφ. νγ'.
17. φ. 125α Συμεὼν τοῦ νέου Θεολόγου

ἡγουμένου μονῆς τοῦ ἁγίου Μάμαντος τῆς Ξηροκέρκου κεφ. ε' περὶ ἐνυπνίου καὶ θεωρίας.

18. φ. 126α Ἰσαὰκ τοῦ Σύρου Λόγος περὶ ἀγρυπνίας, ἕτερος Λόγος περὶ εὐχῆς μετανοιῶν, δακρύων, ἀναγνώσεως, σιωπῆς καὶ ψαλμῳδίας. Ἕτεραι ἐρωταποκρίσεις πῶς καθαίρεται καὶ ἀνάγεται ἡ ψυχὴ καὶ περὶ θεωρίας.

19. φ. 141α Ἰωάννου τοῦ τῆς Καρπάθου ἐπισκόπου πρὸς τοὺς τῆς Ἰνδίας πρεσβυτέρους Κεφάλαια δ'. Περὶ δαιμόνων τῶν πειραζόντων ἡμᾶς.

20. φ. 141α Νείλου τοῦ ἀσκητοῦ Κεφάλαια ρ' περὶ προσευχῆς καὶ πασῶν ἀρετῶν.

21. φ. 148α Συμεὼν τοῦ νέου Θεολόγου Κεφάλαια νηπτικὰ ς'. Ἕτεροι στίχοι ἰαμβικοὶ μα' περὶ κολάσεως.

22. φ. 151α Ἀθανασίου πατριάρχου Ἀλεξανδρείας Κεφάλαια μ' διακριτικὰ πρὸς τὰς τοῦ Θεοῦ ἐντολὰς τοῖς ἀποταξαμένοις καὶ θέλουσι σωθῆναι καὶ πῶς δεῖ τὸν μοναχὸν πολιτεύεσθαι.

23. φ. 153α Ἀπὸ τὸ Γεροντικὸν πρός τινα ἐρωτῶντα ἅγιον περὶ τῶν ὀκτὼ περιεκτικῶν λογισμῶν.

24. 155α Τοῦ ἁγίου Νείλου Κεφάλαια θ' περὶ ψυχικῶν πειρασμῶν καὶ θλίψεων δαιμόνων, φόβου θανάτου καὶ προσευχῆς πρὸς Θεόν.

25. φ. 157α Διαδόχου ἐπισκόπου Φωτικῆς Ἠπείρου τοῦ Ἰλλυρικοῦ Κεφάλαια ιη' πρακτικὰ γνώσεως καὶ διακρίσεως πνευματικῆς.

26. φ. 163α Ἰωάννου Καρπάθου Λόγος περὶ φυλακῆς καρδίας καὶ πῶς δεῖ κρατεῖν τὴν εὐχήν.

27. φ. 165α Γρηγορίου τοῦ Σιναΐτου διάγνωσις λεπτομερεστέρα τῷ ἡσυχάζοντι καὶ πῶς δεῖ καθέζεσθαι ὁ μοναχὸς ἐν τῇ ἡσυχίᾳ κρατῶν τὴν εὐχὴν καὶ περὶ πλάνης καὶ φαντασιῶν Κεφάλαια γ'.

28. φ. 169α Μαξίμου τοῦ ὁμολογητοῦ Κεφάλαια κδ' εἰς τὸν παρόντα βίον κατ' ᾱβ καὶ περὶ θανάτου.

29. φ. 169α Ἀνθολογία ὠφέλιμος ἐκ τῶν ἀσκητικῶν Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς δευτέρας παρουσίας καὶ κρίσεως τοῦ Κυρίου.

30. φ. 170α Γρηγορίου τοῦ Θεολόγου ἐκ τῶν ἀσκητικῶν αὐτοῦ περὶ κρίσεως Κεφάλαια β'.

31. φ. 171α Βασιλείου τοῦ μεγάλου Κεφ. β' περὶ νηστείας καὶ κρίσεως τοῦ Κυρίου· λόγος περὶ καταστάσεως κοινοβίου καὶ περὶ τοῦ μὴ δεῖν ἰδιοποιεῖσθαι μοναχὸν ἐκ κοινοβίῳ μέχρι καὶ ὀβολοῦ.

32. φ. 172α Περὶ ἀλόγου νηστείας.

33. φ. 172α Ἰσαὰκ τοῦ Σύρου Κεφάλαια β' περὶ νηστείας καὶ προσευχῆς.

34. φ. 173α Συμεὼν τοῦ νέου Θεολόγου περὶ τῆς α', β', γ' προσοχῆς.

35. φ. 179α Τοῦ ἁγίου Θαλασσίου περὶ ἀγάπης καὶ ἐγκρατείας καὶ τῆς κατὰ νοῦν πολιτείας πρὸς Παῦλον πρεσβύτερον.

36. φ. 190α Τοῦ ὁσίου Νείλου Κεφάλαια σωτηριώδη περὶ τῶν ὀκτὼ λογισμῶν τοῦ νοῦ διαλαμβάνοντα.

37. φ. 197α Διάφοραι ἐρωτήσεις καὶ ἀποκρίσεις ἐκ τῆς παλαιᾶς καὶ νέας Γραφῆς καὶ τῶν ἁγίων πατέρων.

38. φ. 264α Βασιλείου τοῦ μεγάλου Λόγος τῇ Κυριακῇ τῆς Τυροφάγου.

39. φ. 268α Ἀλφάβητος διὰ στίχων ὡραίων. « Ἄφες ψυχὴ τὰς ἡδονὰς τὸ τρέχειν ἐπ' ἀδήλοις. »

Ἐν φ. 172 β

« Μέτρον δακτυλόπλοκον Ματθαίου θύτου.
θησαυρὸς ἁβρὸς γραφικῶν διδαγμάτων
ψυχῶν τροφὴ τὸ χρῆμα λειμὼν ἡδύνων
γέμων χαρίτων χῶρος ἀνθῶν ἐνθέων
ἐν ᾧ γεωργὸς ἡ χάρις τοῦ Πνεύματος·
Δρέπου καρπὸν τὴν βίβλον ᾧ Ἰάκινθε
ἀλλὰ καὶ πᾶς ὃς ἂν χερσὶ λάβοι ταύτην
τὸν καρπὸν αὐτῆς ὡς σαφῶς νοοτρόφον
καὶ πνευματικὸν ἐκροφῶν χανδὸν πόμα
εὐχαῖς ἀμείβου τὸν συντάξαντα τάδε
μᾶλλον δὲ τὸν γράψαντα Ματθαῖον θύτην
ἐλαχίστῳ τάλανι οἰκτρῷ ἀθλίῳ
ὅπως λυτρωθῶ τοῦ πυρὸς τῆς γεέννης·
ἀμὴν ἀμὴν γένοιτο τριὰς ἁγία·

Πόνοι γεννῶσι δόξαν καὶ κάματοι προξενοῦσι στεφάνους ὥσπερ φησὶν ὁ μεγας Βασίλειος ».

## 1529. — Λ 39. Θηκαρᾶς.

Χαρτ. 21 × 14 αἰῶν. ιζ' (1651) φ. 198.

Ὕμνος τριαδικός σὺν εὐχῇ εἰς τὸ Μεσονυκτικὸν· λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸν τρισάγιον ἢ μετὰ τὸ πιστεύω εἰς ἕνα Θεὸν καὶ ἢ μετὰ τὸν τρισάγιον· ἐκ τῶν δογματικῶν τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ.

Ἐν φ. 197 β « Τὸ παρὸν βιβλίον ἐγράφη χειρὶ Ἀντωνίου ἱερομονάχου ἐν ἔτει ζρνθ (1651) διὰ ἐξόδου καὶ συνδρομῆς τοῦ ὁσιωτάτου Γέροντος κυροῦ Γερασίμου μοναχοῦ τοῦ ἐκ τῆς μεγίστης μονῆς Λαύρας οὗ καὶ κτῆμα ὑπάρχει καὶ οἱ μέλλοντες μετὰ τὴν αὐτοῦ ἀποβίωσιν ἀναγινώσκειν εὔχεσθε ἕνεκεν τῆς ἀγάπης τοῦ Κυρίου τοῦ φάσκοντος εὔχεσθε ὑπὲρ ἀλλήλων ».

Ἐν ἀρχῇ· « Ὁ παρὼν Θηκαρᾶς ὑπάρχει κἀμοῦ τοῦ εὐτελοῦς Ἰωσὴφ ἱερομονάχου καὶ ἐκκλησιάρχου ἀγοράσας τον παρὰ τοῦ γερο — Γερασίμου Ἀνδριώτη ἐν ἔτει 1685 ἐν μηνὶ Μαΐῳ 2 ».

## 1530. — Λ 40. Ψαλτήριον.

Χαρτ. 18 × 12 αἰῶν. ιζ' φ. 149.

Οἱ ψαλμοὶ τοῦ Δαυίδ.

## 1531. — Λ 41. Χρονογράφος.

Χαρτ. 19 × 14 αἰῶν. ιη' φ. 286.

Ἱστορία πολιτικὴ τε καὶ ἐκκλησιαστικὴ λίαν ἀληθής· ἡ μὲν πολιτικὴ ἄρχεται ἀπὸ τῆς βασιλείας τοῦ μεγάλου Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ λήγει ἕως τοῦ νῦν (1784) βασιλεύοντος· ἡ δὲ ἐκκλησιαστικὴ ἀπὸ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου ἕως τοῦ νῦν (1784) πατριαρχεύοντος· ἅπασα μέν τοι περιέχει τοὺς βασιλεῖς καὶ τοὺς πατριάρχας μόνης τῆς Κωνσταντινου-

πόλεως καὶ ἔστιν αὕτη ἡ πραγματεία διὰ στίχων πολιτικῶν δεκαπεντασυλλάβων.

«Προοίμιον.
πάντες ἀεὶ οἱ ἄνθρωποι ὡς ὁ Ἀριστοτέλης
ὁ φιλόσοφος εἴρηκεν ὀρθῶς γνωμοδοτήσας.»

(Περιλαμβάνει ὡσαύτως καὶ πόσοι σοφοὶ διέλαμψαν κατὰ καιρούς.)

**1532. — Λ 42. Βίος Ἰωάσαφ καὶ Βαρλαάμ.**

Χαρτ. 21 × 12 αἰῶν. ιζ' φ. 354 ἀκέφ.

Βίος τοῦ ἁγίου Ἰωάσαφ καὶ Βαρλαάμ.

**1533. — Λ 43. Χρονογράφος.**

Χαρτ. 19 × 13 αἰῶν. ιζ' φ. 442.

1. φ. 1α Περὶ τῆς τῶν Ρωμαίων βασιλείας καὶ περὶ τοῦ Αἰνείου στρατηγοῦ ὅπου ἐπῆγεν εἰς τὴν Ἰταλίαν μέχρι Σουλτὰν Σελήμη υἱοῦ Σουλεημὰν (ἴδ. καὶ Κώδ. Λ 78).

«Ἀφ' οὗ ἐπολιορκήθη ἡ Τρωάδα ἕνας στρατηγὸς ὀνόματι Αἰνείας υἱὸς Ἀχίστου.»

2. φ. 357α Περὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Χλωροῦ, υἱοῦ Κλαυδίου βασιλέως πατρὸς Κωνσταντίνου τοῦ μεγάλου.

3. φ. 360α Ἱεροθέου τοῦ ταπεινοῦ Μητροπολίτου Μονεμβασίας συναγωγὴ ἐν πεζῇ φράσει περὶ τῆς ἀμωμήτου πίστεως τῶν χριστιανῶν.

4. φ. 397α Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων.

5. φ. 420α Κάτωνος Ρωμαίου γνῶμαι (μετὰ ἑρμηνείας ἄνωθεν τοῦ κειμένου).

**1534. — Λ 44. Ὁμιλίαι.**

Χαρτ. 20 × 15 αἰῶν. ιζ' φ. 198.

Ἀδήλου Ὁμιλίαι καὶ λόγοι (κβ') εἰς τὴν ἁγίαν τεσσαρακοστήν.

**1535. — Λ 45. Κατηχήσεις.**

Χαρτ. 20 × 15 αἰῶν. ιζ' φ. 78 κολοβ.

Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδώρου τοῦ ὁμολογητοῦ τοῦ ἡγουμένου τῶν Στουδίου Κατηχήσεις (κθ').

**1536. — Λ 46. Διάφορα.**

Χαρτ. 20 × 14 αἰῶν. ιζ' φ. 141.

1. φ. 1α Ἀποφθέγματα καὶ ἱστορίαι τῶν ἁγίων μαζομένα ἐκ τοῦ πατερικοῦ καὶ ἐκ τῶν βίων τῶν ἁγίων ἑρμηνευθέντα δὲ εἰς πεζῇ φράσιν παρὰ Γεωργίου ῥήτορος Αἴνου.

2. φ. 10α Αἱ περιπέτειαι τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου συγγραφεῖσαι παρὰ τοῦ μαθητοῦ αὐτοῦ Προχόρου ἑνὸς τῶν ἑπτὰ διακόνων.

3. φ. 82α Συλλογὴ ἐκ πολλῶν ἁγίων βίων συναγωνισαμένων τῷ ἐν ἁγίοις πατρὶ ἡμῶν Μιχαὴλ ἐπισκόπῳ Συνάδων τῷ ὁμολογητῇ μεταφρασθεῖσα εἰς τὴν κοινὴν γλῶτταν παρὰ τοῦ λογιωτάτου διδασκάλου καὶ πνευματικοῦ κυροῦ Γερμανοῦ αἰτήσει τοῦ ἐν πνευματικοῖς Ματθαίου.

4. φ. 114α Ἐφραὶμ τοῦ Σύρου Λόγος ἀσκητικὸς καὶ περὶ τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ πολλὰ ψυχωφελής.

5. φ. 131α Διήγησις πάνυ ὠφέλιμος φρικτὴ καὶ παράδοξος περὶ ἀναξίων ἱερέων ἱερουργούντων.

6. φ. 137α Ἐκ τοῦ Γεροντικοῦ (ἀκέφ).

**1537. — Λ 47. Λόγοι.**

Χαρτ. 20 × 14 αἰῶν. ιζ (1671) φ. 80.

1. φ. 1α Ἰωάννου Χρυσοστόμου Λόγος περὶ ἐγκλημάτων ἡγουμένων, ἱερομονάχων, μεγαλοσχήμων, μικροσχήμων καὶ μοναστριῶν.

2. φ. 18α Βασιλείου τοῦ μεγάλου Λόγος περὶ τῶν μοναχῶν.

3. φ. 22α Θεοδώρου τοῦ Στουδίτου κατηχήσεις μεταφρασθεῖσαι εἰς κοινὴν καὶ ἰδιωτικὴν διάλεκτον (κζ').

Ἐν φ. 21 « Ἐν μηνὶ Μαρτίῳ κθ' αχξ (1660) ὁ ἐν ἱερεῦσιν ἐλάχιστος Δημήτριος Σουρούμης. »

Ἐν τέλει · « Ἐγράφη διὰ χειρὸς Φιλαρέτου ἁμαρτωλοῦ ἱερομονάχου ἐν ἔτει αχοα (1671) Νοεμβρίου κε' ».

**1538. — Λ 48. Ρητορική.**

Χαρτ. 21 × 14 αἰῶν ιη' (1759) φ. 199 κολοβ.

1. φ. 1α Ἐπίτομος Λογικὴ κατ' Ἀριστοτέλην καὶ τέχνη ῥητορικὴ κοινῇ φράσει συντεθεῖσαι παρὰ τοῦ σοφωτάτου Κυρίου Βικεντίου Δαμωδοῦ Κεφαληνέως · νῦν πρῶτον τύποις ἐκδοθεῖσα ἀναλώμασι μὲν τοῦ τιμιωτάτου Κυρίου Πολυζώη Σπύρου τοῦ ἐξ Ἀργυροκάστρου, προτροπῇ δὲ καὶ ἐπιδιορθώσει Γεωργίου ἱερέως Φατζέα τοῦ Κυθηρέως · Ἐνετίησι αψνδ' παρὰ Ἀντωνίῳ τῷ Τζάτᾳ.

2. φ. 79α Τέχνη ῥητορικὴ κοινῇ φράσει συντεθεῖσα παρὰ τοῦ σοφωτάτου Βικεντίου Δαμωδοῦ τοῦ Κεφαληνέως, νῦν πρῶτον τύποις ἐκδοθεῖσα, ἀναλώμασι μὲν τοῦ τιμιωτάτου Κυρίου Πολυζώη Σπύρου τοῦ ἐξ Ἀργυροκάστρου, προτροπῇ δὲ καὶ ἐπιδιορθώσει Γεωργίου ἱερέως Φατζέα τοῦ Κυθηρέως · Ἐνετίησιν αψνθ' παρὰ Ἀντωνίῳ τῷ Τζάτᾳ.

## 1539. — Λ 49. Νομοκάνων.

Χαρτ. 19 × 14 αἰῶν. ιζ' φ. 193.

1. φ. 1α Μανουὴλ Νοταρίου τοῦ Μαλαξοῦ Νομοκάνονον.

2. φ. 126α Νομοκάνονον Β' ἐκ τῶν θείων καὶ ἱερῶν ἀποστόλων καὶ ἐκ τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι καὶ ἑτέρων Θεοδώρου τοῦ Στουδίτου, Ἰωάννου τοῦ Νηστευτοῦ, τοῦ μεγάλου Βασιλείου καὶ ἑτέρων ἁγίων πατέρων κεφάλαια.

## 1540. — *Λ 50. Κατάνυξις.

Χαρτ. 21 × 14 αἰῶν. ις' (1588) φ. 507.

1. φ. 1α Βιβλίον ἡ κατάνυξις συγγραφεῖσα παρὰ Συμεὼν Θεσσαλονίκης τοῦ νέου Θεολόγου, Λόγοι διάφοροι περιέχοντες τὰς τῶν παθῶν πάντων κατηγορίας δι' ἐνιστόρων παραδειγμάτων τῆς τε παλαιᾶς καὶ νέας Διαθήκης τῶν ἀπὸ Ἀδὰμ καὶ καθεξῆς συγγραφέντες παρὰ Συμεὼν μοναχοῦ ἀνδρὸς καὶ παναθλίου ἁμαρτωλοῦ πρὸς τὴν ἐμαυτοῦ ψυχὴν ἑκάστης κατηγορίας τὸν ταλανισμὸν ἀναφέροντος ἐν κεφαλαίοις τριάκοντα καὶ δυσὶ καθὼς ὑποτέτακται.

2. φ. 396α Κεφάλαια συναθροισθέντα ἐκ τοῦ δ' βιβλίου τῶν εὐεργετινῶν εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων αὐτά · ὅτι τῷ μοναχῷ ἡ ἀκτημοσύνη ἐπήγγελται καὶ τί τοῦ ἀπροσπαθοῦς γνώρισμα καὶ πῶς οἱ πατέρες ταύτην κατώρθωσαν.

Ἐν τέλει · « Ἐν ἔτει ζρς (1588) Κυρίλλου μοναχοῦ πόνος μηνὶ Ἰανουαρίῳ δ'.

Τὸν παρὸν βιβλίον ὑπάρχει ἐμοῦ μητροπολίτου πρώην Φιλίππων Νεκταρίου καὶ ἐπροσήλωσά το εἰς τὴν βασιλικὴν μονὴν τῆς Λαύρας ».

Ἐν φ. 395 α « Ἐτελειώθη ἡ παροῦσα θεία καὶ ὠφελιμωτάτη βίβλος ἡ ἐπονομαζομένη Κατάνυξις ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω χειρὶ μὲν καὶ πόνῳ Κυρίλλου μοναχοῦ, δαπάνῃ δὲ καὶ συνδρομῇ Νεκταρίου τοῦ πανιερωτάτου μητροπολίτου Φιλίππων τῆς Μακεδονίας ἐν ἔτει ζρζ (1589) μηνὶ Δεκεμβρίῳ κγ' καὶ οἱ ἐντυγχάνοντες εὔχεσθε ὑπὲρ ἀμφοτέρων ».

## 1541. — Λ 51. Κατηχήσεις.

Χαρτ. 22 × 13 αἰῶν. ις' φ. 289.

Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις (ξζ').

## 1542. — Λ 52. Διάφορα.

Χαρτ. 21 × 14 αἰῶν. ιζ' (1648) φ 202.

1. φ. 1α Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν ὕμνων πῶς θεόθεν δεδώρηνται καὶ ὅτι χρὴ τοὺς αἱρουμένους λέγειν αὐτοὺς τηρεῖν ἑαυτοὺς ἀπὸ τῶν παθῶν · εἶτα καὶ μαρτυρίαι ἀπὸ τῶν ἁγίων διδασκάλων περὶ τῆς πρὸς Θεὸν αἰνέσεως καὶ περὶ τῆς πρὸς αὐτὸν εὐχαριστίας καὶ περὶ ἀρετῆς καὶ κακίας · ὅσοι ποθοῦσι λέγειν τοὺς παρόντας ὕμνους ἀναγκαῖον αὐτοῖς ἀναγινώσκειν τὴν διήγησιν ταύτην δὶς τοῦ ἐνιαυτοῦ.

2. φ. 66α Διονυσίου μοναχοῦ γνωστικὰ Κεφάλαια να' περὶ διαφορᾶς τῶν θείων ὕμνων, καὶ περὶ διαφορᾶς τῆς νηπτικῆς εὐχῆς (φ. 77).

3. φ. 81α Τοῦ αὐτοῦ ἑρμηνεία πῶς δεῖ καὶ ὅθεν δεῖ μεταγράφειν τοὺς ὕμνους καὶ ὅτι οὐ δεῖ ἀφιέναι τι ἀπὸ τῆς ὅλης Ἀκολουθίας ταύτης καὶ πότε δεῖ λέγειν τὴν ἀσκητικὴν Ἀκολουθίαν τῆς ἡμέρας καὶ πῶς δεῖ λέγειν τοὺς ὕμνους. Ἔστι δὲ αὕτη ἡ ἑρμηνεία ὡς πίναξ τοῦ παρόντος βιβλίου · εἴτις οὖν βούλεται μεταγράψαι τοὺς ὕμνους ἢ καὶ ὅλον τὸ βιβλίον ἀναγνωσάτω πρῶτον τὴν παροῦσαν ἑρμηνείαν μετ' ἀκριβείας καὶ πολλῆς προσοχῆς.

4. φ. 83α Ὡρολόγιον σὺν Θεῷ τῶν θείων ὕμνων καὶ εὐχαὶ μετὰ Τροπαρίων · εἰσὶ δὲ πόνημα Θηκαρᾶ μοναχοῦ.

« Σύνταξις ὕμνων πυρπνόων θεοσδότων
ἐρωτοφυῶν φωσφόρων τοῖς εὐθέσι
τῇ τρισσοφαῇ καὶ μιᾷ θεαρχίᾳ
οἰκτροῦ τάλανος Θηκαρᾶ μονοτρόπου
εὔχεσθέ μοι γοῦν τῆς δε χάριν ὦ φίλοι. »

5. φ. 105β Τοῦ αὐτοῦ περὶ τῆς προσηκούσης τυπώσεως καὶ συντάξεως τῶν ὕμνων καὶ ἑρμηνεία μερικὴ ἐπὶ τούτοις.

6. φ. 115α Εὐχαὶ εἰς τὸ Μεσονυκτικὸν μετὰ τὸ πάτερ ἡμῶν.

7. φ. 119α Ἐκλογὴ Κεφαλαίων ἀθροισθέντων ἐκ διαφόρων βιβλίων ἱερῶν καὶ πολλήν τινα καὶ παντοδαπῆ καὶ μεγαλωφελῆ περιεχόντων διδασκαλίαν · καὶ τῶν μὲν διαλαμβανόντων περὶ θανάτου καὶ τῶν ἐκεῖθεν δικαιωτηρίων, τῶν δὲ περὶ εὐχῆς καὶ δεήσεως καὶ πάσης τῆς εἰς τὸ θεῖον λειτουργίας, ἔτι δὲ καὶ περὶ τῶν ἀχράντων καὶ θείων μυστηρίων · ἡ δὲ τούτων συλλογὴ γέγονεν ἐξ αἰτίας ταύτης · Ἰωάννης τις τῆς μεγαλοπόλεως Ἀντιοχείας γεγονὼς πατριάρχης, κατοικήσας δὲ καὶ ἐν τῇ νήσῳ τῇ λεγομένῃ Ὀξείᾳ...

Ἐν φ. 116 α « Ἐν ἔτει ζρνς' (1648) ἐν μηνὶ Αὐγούστῳ »

## 1543. — Λ 53. Γρηγορίου τοῦ Θεολόγου.

Χαρτ. 21 × 15 αἰῶν. ιζ' φ. 120 κολοβ.

1. φ. 1α Περικοπαί τινες διερμηνευθεῖσαι ἐκ τῆς Λατινίδος φωνῆς εἰς τὴν ἑλληνίδα παρὰ τοῦ σοφωτάτου καθηγητοῦ ἡμῶν Μακαρίου ἱεροδιακόνου Πατμίου ἐκ τῶν πολλῶν ἐξηγήσεων τοῦ Ἠλία τοῦ ἀρίστου ἑρμηνέως τῶν ὑψηλῶν καὶ δυσνοήτων λόγων Γρηγορίου Ναζιανζινοῦ τοῦ Θεολόγου, εἰς τὸν ἀπολογητικὸν τῆς εἰς τὸν Πόντον φυγῆς καὶ αὖθις ἐκεῖθεν ἐπανόδου.

2. φ. 89α Εἰς τὸν δέκατον πέμπτον λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου οὗ ἡ ἐπιγραφὴ « εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης » ἑρμηνεία ἐκ τῶν τοῦ Νικήτα.

3. φ. 111α Τοῦ αὐτοῦ περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων Λόγος.

4. φ. 119α Τοῦ αὐτοῦ Λόγος εἰς τὴν χειροτονίαν Δοάρων ὁμιλία ἐκδοθεῖσα Εὐλαλίῳ ἐπισκόπῳ.

### 1544. — Λ 54. Προσκυνητάριον.

Χαρτ. 22 × 15 αἰῶν. ιη' (1773) φ. 197.

Προσκυνητάριον ἀκριβέστατον τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος ἱερᾶς καὶ σεβασμίας βασιλικῆς καὶ σταυροπηγιακῆς μονῆς μεγίστης Λαύρας συντεθὲν διὰ στίχων πολιτικῶν παρὰ Εὐθυμίου Μακεδόνος τοῦ Τραπεζουντίου τοῦ καὶ τῆς αὐτῆς μονῆς ἱερομονάχου.

« Εἷς κῆπος πανευφρόσυνος καὶ μία κρύα βρύσι ἢ περιβόλι μὲ καρποὺς μέ ρόδα νὰ ἀνθήσῃ. »

(Ἐν αὐτῷ καὶ περὶ τῆς γεννέσεως, ἀνατροφῆς καὶ πολιτείας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ.)

Ἐν τέλει · « Ἐγράφη τὸ παρὸν εἰς τὴν τοῦ Καυσοκαλυβίου Σκήτην ἐν ἔτει ᾳψογ (1773) μηνὶ Σεπτεμβρίῳ. »

Ἀκολουθοῦσι Στίχοι πολιτικοὶ πρὸς τὸν συγγραφέα καὶ στιχουργὸν ταύτης τῆς βίβλου (φ. 196 β) μὲ ἀκροστιχίδα « Κυρίλλου ».

Ἕτεροι στίχοι πρὸς τὸν ποιητὴν ταύτης τῆς βίβλου καὶ τῆς ἑτέρας τῆς αὐτοῦ κατὰ τοῦ ἀντιθέου πάπα (φ. 197).

### 1545. — *Λ 55. Διάφορα.

Χαρτ. 23 × 13 αἰῶν. ις' (1501) φ. 205.

1. φ. 1α Γρηγορίου ἐπισκόπου Νύσσης εἰς τὸ πάτερ ἡμῶν καὶ περὶ προσευχῆς λόγοι ε'.

2. φ. 50α Πλουτάρχου παραλλήλων Ἀλεξάνδρου καὶ Καίσαρος Ἰουλίου.

3. φ. 147α Τοῦ Κληρικοῦ καὶ Κουβουκλησίου τοῦ Καμινιάτου εἰς τὴν ἅλωσιν τῆς Θεσσαλονίκης.

« Ὡς ἀρίστη τῶν ἀγαθῶν ἡ φιλοπονία. »

Ἐν τέλει · « Τέλος τῆς ἀξιομνημονεύτου ἱστορίας κυροῦ Ἰωάννου τοῦ Καμινιάτου καὶ Κουβουκλησίου τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης ἣν ὀφείλει πᾶς τις μάλιστα δὲ Θεσσαλονικεὺς ἐπιστατικῶς τε καὶ νουνεχῶς διελθεῖν, ὡς πάνυ οὖσαν τό γε εἰς ψυχικὴν ἧκον ὠφέλειαν ἀρίστην τε καὶ λυσιτελεστάτην.

Ἐγράφη Μαρτίῳ ιγ' ἔτει ζιθ (1501) ἰνδ. ιδ' ».

### 1546. — Λ 56. Ἀκολουθία.

Χαρτ. 22 × 16 αἰῶν. ιη' (1754) φ. 38.

1. φ. 1α Ἀκολουθία τοῦ ὁσίου Ἰωάννου τοῦ ἐρημίτου τοῦ ἐν τῇ νήσῳ Κρήτῃ ἀσκήσαντος (μετὰ Εὐλογηταρίων καὶ Τροπαρίων ἐγκωμιαστικῶν ψαλλομένων εἰς τὴν πανήγυριν αὐτοῦ πρὸς τὸ « Ἡ ζωὴ ἐν τάφῳ » (φ. 22) καὶ δύο κανόνων. (Ὀκτωβρίου ζ').

2. φ. 28α Βίος καὶ πολιτεία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν ῃ' τῶν ἐν τῇ Κρήτῃ λαμψάντων καὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐρημίτου καὶ συνασκητοῦ αὐτῶν.

« Μνήμη δικαίου μετ' ἐγκωμίων. »

Ἐν τέλει · « Ἰουλίῳ κη' αψνδ (1754). Χορὸς πατέρων ὑμῶν θείαις πρεσβείαις τῷ ἔχοντι καὶ γράψαντι Χριστέ μου σῶσον ἀμήν. Χεὶρ Ἀντωνίου Παντουβάκη ἀπὸ χωρίον λεγόμενον Καμάρα Κουμοῦλι. »

### 1547. — Λ 57. Ἰσαὰκ τοῦ Σύρου.

Χαρτ. 21 × 16 αἰῶν. ιη' (1729) φ. 358.

1. φ. 1α Πρόλογος καὶ δήλωσις τοῦ βίου καὶ τῆς πολιτείας τοῦ ὁσίου πατρὸς Ἰσαὰκ τοῦ Σύρου τοῦ συγγραφέως τῆς παρούσης βίβλου, ἐν ᾧ καὶ μικρὸς ἔπαινος ὡς ἀπὸ ἰδιωτικῶν χειλέων προσφερόμενος αὐτῷ · μετεφράσθη δὲ ἐν συντομίᾳ ἀπὸ τὸ πρωτότυπον τὸ ἑλληνικὸν εἰς ἁπλοῦν.

2. φ. 1α Πίναξ ἀκριβὴς τῆς παρούσης πυξίδος.
εἴπερ βούλει φίλτατε γνῶναι τοὺς λόγους
οὓς ἡ παροῦσα δέλτος ἐμπεριφέρει
ὁ πίναξ οὗτος σαφέστατα διδάξει.

3. Ἰσαὰκ τοῦ Σύρου Λόγοι 93 (ὁ πρῶτος περὶ ἀποταγῆς καὶ μοναχικῆς πολιτείας).

Ἐν τέλει ·
« Δῶρον θεῖον μὲν πόνος δὲ ἡ παροῦσα
βίβλος πέλει τοὔνομα Διονυσίου
μελανείμονος καὶ ἀλιτροῦ ἀνέρος ·
γέγραπται καὶ γὰρ σωτηρίῳ ἐν ἔτει
τῷ χιλιοστῷ ἑπτακοσιοστῷ γε
εἰκοστῷ ἐννάτῳ τε μηνὶ Μαρτίῳ
οἱ δὲ ἐντυγχάνοντες ταύτῃ ἐμπόνως
μνείαν πρὸς Θεὸν τοῦ γράψαντος ποιεῖσθε. »

### 1548. — Λ 58. Θηκαρᾶς.

Χαρτ. 20 × 14 αἰῶν. ις' (1540) φ. 285.

1. φ. 1α Ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ Μεσονυκτικόν · λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸν τρισάγιον ἢ μετὰ τὸ πιστεύω εἰς ἕνα Θεόν καὶ ἔτι μετὰ τόν τρισάγιον, ἐκ τῶν δογμάτων τοῦ ἁγίου Διονυσίου, ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ.

2. φ. 210α Ἀναστάσιμα ἤτοι ὁλόκληρος ἡ Ἀκολουθία τῆς Κυριακῆς τοῦ πλ. β' ἤχου.

3. φ. 229α Στιχηρὰ τῇ Κυριακῇ ἑσπέρας τοῦ α' ἤχου καὶ εἰς τὸν ὄρθρον τῆς Δευτέρας.

4. Ἀκολουθία τῆς Τρίτης εἰς ἦχον β' καὶ καθεξῆς μέχει τοῦ Σαββάτου.

Ἐν φ. 206 α « Θεοῦ τὸ δῶρον καὶ πόνος Δημητρίου ἐπὶ ἔτους ζμη' (1540) ἐν μηνὶ Σεπτεμβρίῳ ».

### 1549. — Λ 59. Θηκαρᾶς.

Χαρτ. 21 × 13 αἰῶν. ιζ' φ. 241.

1. φ. 1α Διονυσίου μοναχοῦ πεντηκοντὰς ἰάμβων στίχοι εἰς τοὺς ὕμνους [Θηκαρᾶ].

« Λειμὼν θεαυγὴς τερπνοσυνθέτων ὕμνων. »

2. φ. 3α Τοῦ αὐτοῦ Διονυσίου μοναχοῦ γνωστικὰ Κεφάλαια ν' περὶ διαφορᾶς τῶν θείων ὕμνων.

3. φ. 11α Τοῦ αὐτοῦ Ἑρμηνεία πῶς δεῖ καὶ ὅθεν δεῖ μεταγράφειν τοὺς ὕμνους καὶ ὅτι οὐ δεῖ ἀφιέναι τι ἀπὸ τῆς ὅλης Ἀκολουθίας καὶ πότε δεῖ λέγειν τὴν ἀσκητικὴν Ἀκολουθίαν τῆς ἡμέρας καὶ πῶς δεῖ λέγειν τοὺς ὕμνους.

4. φ. 13α Ὡρολόγιον σὺν Θεῷ τῶν θείων ὕμνων καὶ εὐχαὶ μετὰ Τροπαρίων εἰς τὸ Ψαλτήριον· εἰσὶ δὲ πόνημα Θηκαρᾶ μοναχοῦ.

5. φ. 207α Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν ὕμνων πῶς θεόθεν δεδώρηνται καὶ ὅτι χρὴ τοὺς αἱρουμένους λέγειν αὐτοὺς τηρεῖν ἑαυτοὺς ἀπὸ τῶν παθῶν· εἶτα καὶ μαρτυρίαι ἀπὸ τῶν ἁγίων διδασκάλων περὶ τῆς πρὸς Θεὸν αἰνέσεως καὶ περὶ τῆς πρὸς αὐτὸν εὐχαριστίας καὶ περὶ ἀρετῆς καὶ κακίας.

Ἐν φ. 206 α « Εὔχεσθε δέομαι καὶ παρακαλῶ ὅσοι ἐντυγχάνετε τὴν θείαν ταύτην καὶ θαυμαστὴν βίβλον ἐμοὶ τῷ μετὰ πόθου καὶ πόνου ταύτην γεγραφότι Γρηγορίῳ τῷ ἁμαρτωλῷ τάχα καὶ ρακενδύτη. »

Ἐν φ. 22 α Εἰκὼν τοῦ μεγάλου Βασιλείου· ἐν φ. 24 α Εἰκὼν τοῦ Χρυσοστόμου· ἐν φ. 25 α Εἰκὼν Γρηγορίου τοῦ Θεολόγου· ἐν φ. 26 α Εἰκὼν Θεοδώρου τοῦ ἡγιασμένου.

Ἐν ἀρχῇ « Ὄργανον φιλοσοφίας πνευματικῆς· δίκαιόν ἐστιν ὄργανον καλεῖσθαι τουτὶ τὸ βιβλίον ἐπεὶ καὶ ὁ ποιήσας τοῦτο Θηκαρᾶς πολλάκις προεώρακεν, ὥς φασι Θεόδουλος, ἐν τῇ προσευχῇ αὐτοῦ.

Διονυσίου μοναχοῦ στίχοι εἰς τοὺς ὕμνους τοῦ Θηκαρᾶ, ὑποδεικνύοντες αὐτῶν τὴν εἰς θεὸν οἰκειότητα καὶ τὴν κατὰ ψυχὴν ὠφέλειαν.

Θείων ὕμνων ἔρωτες οἷς εὐχῆς μένος
καθημερινὴ ζημία τοῖς ραθύμοις
σάλπιγγες ἠχῆς μυστικῆς θεηγόροι
ἔρωτι πυρπνέοντες ὕψιστον πόθον
προὔθηκεν ἀθρῶς πᾶσιν εἰς σωτηρίαν
πολυσχεδῆ τράπεζαν Θηκαρᾶς πένης.

Ἰσιδώρου :
Φυτουργὰ ρεῖθρα τῶν δε ρεῖ θείων ὕμνων
ὡς εἰς ἑκατὸν γνώσεως καρποὺς φέρειν.

Ἰωάννου φιλοσόφου :
Ἐρῶν Θεοῦ πτέρυξι ταῖς δε μοι πέτου
κούφῳ νοΐ ἄνθρωπε πρὸς ὕψος φθάνων.

Γαλακτίωνος μοναχοῦ :
Θηκαρᾶς ἂν ἧς, ὦ μοναστά, πρὶν δέμας
ἄρτι μαχαιρᾶς καὶ τὸ πνεῦμα δεῖν πέλεις.

Μητροφάνους μοναχοῦ :
ὦ τὶς σοφός τε τὴν ψυχὴν καὶ γεννάδας
τούτοις ἐλεῖται λατρεύειν θεῷ πόθῳ·
ὄντως ὁποῖα τοῖς ἀριστεῦσι φίλα
ὁ Θηκαρᾶς τέτευχας ἀριστοτρόπως.

Νεοχωρίτου Γραμματέως :
« Αἴνων λαμψάντων...

Τοῦ Φιλῆ :
Θεοῦ τὸ πνεῦμα ρήτρας ἐξ ἁλιέων...

Τοῦ Χιόνι :
Κἂν Θηκαρᾶς ἐκεῖνος οὐ μέγα κλέος...

Τοῦ Σταφιδάκι :
Οὐ τῶν μαχαιρῶν Θηκαρᾶς οὗτος φίλε...

Τοῦ Χαρσανίτου :
Ἐγὼ δὲ πῶς σε θεσπέσιε καλέσω
ἢ θηκαρουργὸν τῆς Θεοῦ παντευχίας ».

## 1550. — Λ 60. Θηκαρᾶς.

Χαρτ. 21 × 14 αἰῶν. ιζ' (1664) φ. 213.

Ἀρχὴ σὺν Θεῷ τοῦ Θηκαρᾶ· ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ Μεσονυκτικόν· λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸν τρισάγιον ἢ μετὰ τὸ πιστεύω εἰς ἕνα Θεόν· ἐκ τῶν δογμάτων τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ.

Ἐν τέλει· « Ὁ παρὼν Θηκαρᾶς ἐγράφη χειρὶ Ἀντωνίου ἱερομονάχου ἐν ἔτει ζροβ' (1664) διὰ ἐξόδου Λουκιανοῦ μοναχοῦ οὗ καὶ κτῆμα πέλει καὶ μηδεὶς τολμήσει ἐξῶσαι ἐκ τῶν χειρῶν αὐτοῦ ἕως οὗ ἀναπνεῖ· μετὰ δὲ τὸν θάνατον αὐτοῦ ὅποιος τὸν λάβει νὰ τὸν μνημονεύῃ καὶ νὰ εὔχηται ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἕνεκεν τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ ».

## 1551. — Λ 61. Μηναῖον.

Χαρτ. 22 × 15 αἰῶν. ιζ' φ. 143.

Μηναῖον Ἰουλίου.

## 1552. — Λ 62. Διάφορα.

Χαρτ. 22 × 16 αἰῶν. ιη' φ. 298.

1. φ. 1α Βασιλείου τοῦ μεγάλου ὁμιλίαι (2) εἰς τὴν ἑξαήμερον.

2. φ. 17 Τοῦ αὐτοῦ πρὸς τοὺς νέους ὅπως ἂν ἐκ τῶν ἑλληνικῶν ὠφελοῖντο λόγων παραίνεσις.

3. φ. 41α Τοῦ αὐτου Ὁμιλία ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός.

4. φ. 65α Τοῦ αὐτοῦ Ὁμιλία κγ' περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς καὶ περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἔξωθεν τῆς ἐκκλησίας.

5. φ. 89α Κυροῦ Θεοδώρου τοῦ Προδρόμου τετράστιχα ἰαμβεῖα καὶ ἡρῷα εἰς τὰ κεφαλαιωδῶς ρηθέντα ἐν τῇ παλαιᾷ Γραφῇ.

« Ἐν ἡμέραις ἓξ τὴν κτίσιν κτίζεις λόγε. »

6. φ. 139α Τοῦ αὐτοῦ ἐπὶ ἀποδήμῳ τῇ φιλίᾳ.

« Ὦ φιλία δέσποινα πάντιμον κάρα. »

7. φ. 155α Πλουτάρχου Χαιρωνέως περὶ παίδων ἀγωγῆς.

8. φ. 189α Θεοδώρου τοῦ Προδρόμου τετράστιχα ἰαμβεῖα καὶ ἡρῷα εἰς τὰ κεφαλαιωδῶς ρηθέντα ἐν τῷ τετραευαγγελίῳ, εἰς τὴν Γέννησιν τῆς Θεοτόκου, εἰς τὰς Πράξεις τῶν ἀποστόλων (φ. 209), εἰς τὴν ἐξ ἐπαγγελίας γέννησιν Γρηγορίου τοῦ Θεολόγου (φ. 217) εἰς τὸν βίον τοῦ μεγάλου Βασιλείου (φ. 220), εἰς τὸν βίον τοῦ Χρυσοστόμου (φ. 225), εἰς τὸν ἀπόστολον Παῦλον (φ. 231) προσφωνητικοί, ὅμοιοι εἰς τὸν Θεολόγον Γρηγόριον, Βασίλειον, Χρυσόστομον, Γρηγόριον Νύσσης καὶ Νικόλαον (φ. 232).

9. φ. 237α Τοῦ ρήτορος Ψελλοῦ εἰς τὴν ἀνάγνωσιν τοῦ βίου τοῦ Χρυσοστόμου.

« Μοναδικῶς μὲν οὐρανὸς τὸν φωσφόρον. »

10. φ. 239α Τοῦ αὐτοῦ Ψελλοῦ στίχοι εἰς τοὺς ἁγίους τρεῖς ἱεράρχας.

« Σίγα θεατὰ καὶ βραχὺν μεῖνον χρόνον. »

11. φ. 240α Τοῦ αὐτοῦ Ψελλοῦ εἰς τὰς ἁγίας ἑπτὰ συνόδους.

« Γίνωσκε καὶ τὸν ἀριθμὸν τῶν ἱερῶν συνόδων. »

12. φ. 243α Βασιλείου τοῦ μεγάλου Ὁμιλία κατὰ ὀργιζομένων.
13. φ. 261α Προοίμιον περὶ κρίματος Θεοῦ.
14. φ. 283α Κάτωνος Ρωμαίου γνῶμαι παραινετικαὶ δίστιχοι.
« Ἀναπολήσας ἐγὼ κατὰ νοῦν ὡς οἱ πλεῖστοι δὴ τῶν ἀνθρώπων ».

('Εν τῷ Κώδ. ἄνωθεν τοῦ κειμένῳ καὶ ἑρμηνεία.)

**1553. — Λ 63. Θεοφίλου Κορυδαλέως.**

Χαρτ. 21 × 16 αἰῶν. ιη (1752) φ. 116.

1. φ. 9α Σύνοψις λογικῆς τοῦ Ἀριστοτέλους ποιηθεῖσα κατὰ πεῦσιν καὶ ἀπόκρισιν παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου Κυρίου Θεοφίλου τοῦ Κορυδαλέως.
2. φ. 1-9 καὶ 114-116. Βίος καὶ πολιτεία τοῦ ὁσίου Γρηγορίου τοῦ Σιναΐτου συγγραφεὶς παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κὺρ Καλλίστου ὃς ἐχρημάτισεν μαθητὴς ἐπιστήθιος τοῦ ἁγίου ἑορτάζοντος τῇ κζ' Νοεμβρίου.
« Οὗτος ὁ διαυγὴς φωστὴρ τῆς οἰκουμένης ».

'Εν φ. 113β « Ἔλαβε πέρας τὸ παρὸν κατὰ τὸν αψνβ (1752) ἐν μηνὶ Μαρτίῳ κε' · ἐπονήθη διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Δαυὶδ ἱερομονάχου φέροντος τὸ γένος ἐκ πόλεως Ἄρτης καλουμένης, οὗ μέμνησθε οἱ διαδεχόμενοι ἐν ταῖς ἁγίαις ὑμῶν προσευχαῖς. »

**1554. — Λ 64. Μηναῖον.**

Χαρτ. 19 × 13 αἰῶν. ιζ' φ. 340.

Μηναῖον Ἰουνίου (μετὰ πολλῶν ἀκολουθιῶν ἀνεκδότων).

**1555. — Λ 65. Κατηχήσεις.**

Χαρτ. 21 × 14 αἰῶν. ιζ' φ. 256.

Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις (67) (ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου « ὅτι οὐ δεῖ τοὺς πονηροὺς λογισμοὺς ἐγχρονίζειν ἐν ἡμῖν » μέχρι « Περὶ τῆς τελευταίας ἡμέρας καὶ ἐπιφανείας τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ »).

**1556. — Λ 66. Διάφορα.**

Χαρτ. 21 × 14 αἰῶν. ιζ' φ. 345.

1. φ. 1α Ἱστορία καὶ διήγησις περὶ Ἰωσὴφ τοῦ παγκάλου πάνυ ὠφέλιμος διὰ στίχων (1068).
« Ἐφάνη γοῦν ὁ Ἀβραὰμ ἐν Μεσοποταμίᾳ. »
2. φ. 32α Βίος καὶ πολιτεία τοῦ ὁσίου Νήφωνος ἐν Κωνσταντινουπόλει μὲν ἀσκήσαντος, ἐπισκόπου δὲ γενομένου Κωνσταντιανῆς τῆς κατὰ τὴν Ἀλεξάνδρειαν.
« Εἰ μυστήριον βασιλέως κρύπτειν καλόν. »
3. φ. 58α Κεφάλαια ἐκλελεγμένα ἐκ πολλῶν βιβλίων πάνυ ὠφέλιμα.
4. φ. 86α Ἐκ τοῦ βίου τοῦ νέου Βασιλείου περὶ τελωνείων ἐναερίων.
5. φ. 94α Τοῦ ἁγίου Ἀμφιλοχίου περὶ τοῦ μὴ ἀπογινώσκειν καὶ ἐκ μαρτυριῶν ἁγίων πατέρων.
6. φ. 115α Ἀνάμνησις καὶ διήγησις μερικὴ περὶ τοῦ ἁγίου ὄρους τοῦ Ἄθω ἐκ παλαιῶν ἱστοριῶν.
7. φ. 119α Περὶ τῆς μεγάλης μονῆς τοῦ Βατοπαιδίου.
8. φ. 120α Περὶ τῆς Πορταϊτίσσης τῆς Θεοτόκου.
9. φ. 121α Περὶ τῆς τοῦ Ζωγράφου μονῆς — Περὶ Ἰωάννου Κουκουζέλη.
10. φ. 135α Διήγησις πάνυ ὠφέλιμος ἐκ τοῦ Γεροντικοῦ.
11. φ. 141α Βίος καὶ πολιτεία τοῦ ὁσίου Μάρκου τοῦ Ἀθηναίου τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θράκης.
12. φ. 150α Ἐκ τοῦ βίου τοῦ ἁγίου Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ περὶ τοῦ ἀντιχρίστου.
13. φ. 155α Περὶ τῶν Ἀγαρηνῶν.
14. 158α Περὶ τῶν Φραγκῶν καὶ πῶς ἀπεσχίσθη ἡ Ρώμη τῶν τεσσάρων πατριαρχῶν.
15. φ. 172α Ἀδήλου λόγος εἰς τὴν ἁγίαν καὶ μεγάλην Παρασκευήν.
« Δεῦτε βροτοὶ θεάσασθε τὸν πάντων βασιλέα. »
16. φ. 175α Παύλου ἀρχιεπισκόπου Μονεμβασίας διηγήσεις ψυχωφελεῖς περὶ ἐναρέτων καὶ θεοσεβῶν ἀνδρῶν τε καὶ γυναικῶν.
17. φ. 247α Περὶ τῶν πρωτείων τοῦ πάπα ὅτι μήτε οἱ κανόνες τῶν νόμων μήτε ὁ λογαριασμὸς θέλει νὰ τὰ ἔχῃ καθὼς κρατοῦσιν οἱ Ρωμάνοι, ἀλλ' ἁρπακτικῶς θέλει νὰ χρᾶται.
18. φ. 277α Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις.

**1557. — Λ 67. Ἀββᾶ Δωροθέου.**

Χαρτ. 24 × 14 αἰῶν. ις' φ. 220.

1. φ. 1α Ἀββᾶ Δωροθέου λόγοι.
2. Ἑρμηνεία τινῶν ρητῶν τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ψαλλομένων εἰς ἁγίους.
3. Βασιλείου τοῦ μεγάλου Λόγος ἀσκητικὸς περὶ τοῦ πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν.

**1558. — Λ 68. Διάφορα.**

Χαρτ. 21 × 14 αἰῶν. ιζ' φ. 404.

1. φ. 1α Τοῦ ὁσίου Νείλου Κεφάλαια.
2. φ. 5α Τοῦ αὐτοῦ γνῶμαι ἀπάγουσαι τῶν φθαρτῶν καὶ κολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον.
3. φ. 11α Ἐπιστολαί. Χαρικλεῖ πρεσβυτέρῳ ἀπο-

τόμως ἐπεξερχομένῳ τοῖς πταίουσι καὶ λέγοντι μὴ ἀρκεῖν τὴν μετάνοιαν εἰς ἐξομολόγησιν — Διδύμῳ ἀναγνώστῃ (καὶ λοιποῖς ἐν ὅλῳ 80).

4. φ. 49α Ἐκ τοῦ βίου τοῦ ὁσίου Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ περὶ τῆς βίας τοῦ χειμῶνος.

5. φ. 66α Ἀκολουθία ἐπὶ ἐνοχλήσει αἰσχρῶν καὶ ρυπαρῶν λογισμῶν · καὶ εὐχαὶ Συμεὼν τοῦ Θαυμαστορείτου ἐπὶ πυρώσει σαρκός.

6. φ. 70α Περὶ τῶν ἐν τῇ Νητρίᾳ.

7. φ. 103α Ἡ κατ' Αἴγυπτον τῶν μοναχῶν ἱστορία Ἱερωνύμου περὶ τῶν ἁγίων πατέρων.

8. φ. 150α Ἰωάννου Χρυσοστόμου ἀπὸ τῆς ἑρμηνείας τοῦ εἰς τὸ Κύριε ἐκέκραξα.

9. φ. 157α Βασιλείου τοῦ μεγάλου κατὰ πόσους τρόπους οἱ πονηροὶ λογισμοὶ συνίστανται.

10. φ. 162α Τοῦ ἁγίου Νείλου περὶ τῶν τριῶν τρόπων τῆς εὐχῆς.

11. φ. 169α Μαξίμου τοῦ ὁμολογητοῦ κεφάλαια νηπτικά.

12. φ. 172α Βαρσανουφίου περὶ τηρήσεως τῆς καρδίας.

13. φ. 173α Γρηγορίου Νύσσης ἐκ τοῦ μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ (αὐτόθι περὶ τῶν πέντε δυνάμεων τῆς ψυχῆς τοῦ Ἀβουκαρᾶ).

14. φ. 176α Ἰωάννου Καρπαθίου, ἀββᾶ Ἡσαΐου, Ἀρσενίου, Συγκλητικῆς, Ἐφραὶμ τοῦ Σύρου, Νείλου μοναχοῦ παραινέσεις.

15. φ. 185α Συμεὼν τοῦ νέου Θεολόγου πρὸς ἀρχαρίους καὶ ὁποίαν ὀφείλουσιν ἔχειν πίστιν οἱ ὑποτασσόμενοι πρὸς τὸν ἴδιον πατέρα.

16. φ. 187α Τοῦ ἁγίου Νείλου περὶ ἐργασίας νοός, καὶ παραινέσεις πρὸς μοναχούς.

17. φ. 199α Τοῦ ἀββᾶ Θαλασσίου τοῦ Λίβυος καὶ Ἀφρικανοῦ περὶ ἀγάπης καὶ ἐγκρατείας πρὸς Παῦλον πρεσβύτερον ἑκατοντάς α', ἧς ἡ ἀκροστιχίς : πνευματικῷ ἀδελφῷ καὶ ἀγαπητῷ Κυρίῳ Παύλῳ Θαλάσσιος τῷ μὲν φαινομένῳ ἡσυχαστής, τῇ δὲ ἀληθείᾳ πραγματευτὴς κενοδοξίας.

18. φ. 204α Τοῦ αὐτοῦ ἑκατοντὰς β' ἧς ἡ ἀκροστιχὶς ἥδε : Εὖξαι ὑπὲρ ἐμοῦ ἀδελφὲ τιμιώτατε ὅτι μεγάλα κακὰ προσδοκῶ ἄξια τῆς ἐμῆς προαιρέσεως λύπας τῇ ψυχῇ καὶ ὀδύνας τῷ σώματι.

19. φ. 209α Κεφάλαια παραινετικά.

Ἐν τέλει · « Πόνος καὶ κτῆμα τὸ παρὸν βιβλίον τοῦ ἐν πνευματικοῖς ἐλαχίστου πέλει Ματθαίου καὶ τῶν σὺν ἐμοί ».

### 1559. — Λ 69. Διάφορα.

Χαρτ. 21 × 14 αἰῶν. ιζ' φ. 245 ἀκέφ. κολοβ.

1. φ. 1α Ἰωάννου τῆς Κλίμακος λόγοι λ'.

2. φ. 95α Μαξίμου τοῦ ὁμολογητοῦ Κεφάλαια περὶ ἀγάπης ρ'.

3. φ. 104α Ἀθανασίου Ἀλεξανδρείας Λόγος διακριτικὸς καὶ ἔντολαὶ εἰς μοναχούς.

« Ἀγαπητοὶ φροντίσωμεν τῆς σωτηρίας ἡμῶν ὅτι ὁ καιρὸς συνεσταλμένος. »

4. φ. 112α Κεφάλαια διάφορα ἁγίων πατέρων.

5. φ. 126α Ἁγίων ἀνδρῶν ἐκλογὴ κεφαλαιώδης περὶ νήψεως καὶ ἀκριβοῦς βίου.

6. φ. 135α Ἀποφθέγματα ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος.

7. φ. 151α Περὶ ἱερᾶς καὶ ὁσίας σώματος καὶ ψυχῆς ἡσυχίας.

8. φ. 154α Περὶ μνήμης θανάτου.

9. φ. 167α Περὶ ἀκηδίας, γαστριμαργίας, φιλαργυρίας, ἀκτημοσύνης, ἀναισθησίας, ὕπνου, ἀγρυπνίας.

10. φ. 180α Βίος τοῦ ἁγίου Ἰλαρίωνος.

« Ἰλαρίων τοίνυν ὁ ἅγιος τῷ μὲν γένει ἦν παλαιστῖνος. »

11. φ. 193α Τοῦ ἁγίου Ἰσαὰκ λόγος γ', δ'.

12. φ. 213α Τοῦ ὁσίου Ἡσαΐου λόγος θρηνητικός.

13. φ. 224α Τοῦ αὐτοῦ περὶ οἰκοδομῆς τῶν θεολόγων.

14. φ. 230α Ἰωάννου Χρυσοστόμου Λόγος εἰς τὸν μάταιον βίον καὶ περὶ κατανύξεως.

15. φ. 236α Περὶ διαφόρων τρόπων τοῦ πολέμου τοῦ ἐκ τοῦ διαβόλου πρὸς τοὺς ἐν τῇ στενῇ ὁδῷ πορευομένους.

16. φ. 241α Βίος τοῦ ὁσίου Βησαρίωνος.

17. φ. 242α Περὶ τῶν ᾠδῶν τῶν πλησιάζειν τῷ Θεῷ ποιουσῶν ἐκ τῆς ἀγρυπνίας.

### 1560. — Λ 70. Μαρτυρολόγιον.

Χαρτ. 29 × 19 αἰῶν. ιζ' (1656) φ. 324 δίστηλ.

Μαρτυρολόγιον τοῦ Μηνὸς Δεκεμβρίου.

1. φ. 1α Μαρτύριον τῶν ἁγίων Θύρσου καὶ Λευκίου καὶ τῶν σὺν αὐτοῖς.

« Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κοινωνία. »

2. φ. 37α Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου.

« Αἰλίου Ἀδριανοῦ Ρωμαίων. »

3. φ. 47α Ὑπόμνημα εἰς τὸν ἅγιον προφήτην Δανιὴλ καὶ εἰς τοὺς ἁγίους τρεῖς παῖδας.

« Ἄρτι Ναβουχοδονόσορ ὁ βασιλεύς. »

4. φ. 71α Μαρτύριον τοῦ ἁγίου Σεβαστιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ Ζωῆς, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου καὶ Μάρκου.

« Πολλῶν κατὰ διαφόρους καιρούς. »

5. φ. 91α Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Βονιφατίου τοῦ Ρωμαίου.

« Καὶ τὰ τῶν ἄλλων μὲν τοῦ Χριστοῦ μαρτύρων. »

6. φ. 104α Μαρτύριον τοῦ ἁγίου Ἰγνατίου τοῦ Θεοφόρου.

« Ἄρτι Τραϊανοῦ. »

7. φ. 118α Μαρτύριον τῆς ἁγίας Ἰουλιανῆς τῆς ἐν Νικομηδείᾳ μαρτυρησάσης.

« Καὶ ἡ καλλίστη τῶν πόλεων ἡ Νικομήδεια. »

8. φ. 128α Μαρτύριον τῆς ἁγίας καὶ ἐνδόξου μεγαλομάρτυρος Ἀναστασίας.

« Ἀναστασία γυναικῶν ἡ καλλίστη. »

9. φ. 153α Μαρτύριον τῶν ἁγίων δέκα μαρτύρων τῶν ἐν τῇ Κρήτῃ ἀθλησάντων.

« Ἄλλος μὲν ἄλλο τι τῆς θρυλλουμένης διεξιέτω Κρήτης. »

10. φ. 159α Βίος καὶ πολιτεία καὶ ἄθλησις τῆς ἁγίας ὁσιομάρτυρος τοῦ Χριστοῦ Εὐγενίας καὶ τῶν ταύτης γονέων.

« Κομόδου μετὰ Μάρκον. »

11. φ. 190α Μαρτύριον τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου.

« Ἐγένετο κατὰ τὸν καιρὸν ἐκεῖνον. »

12. φ. 198α Γρηγορίου Νύσσης ἐγκώμιον εἰς τὸν ἅγιον πρωτομάρτυρα Στέφανον.

« Ὡς καλὴ τῶν ἀγαθῶν ἡ ἀκολουθία. »

13. φ. 212α Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Γραπτοῦ καὶ Θεοφάνους τοῦ ἀδελφοῦ αὐτοῦ.

« Τῶν ὑπὲρ Χριστοῦ τὴν ἄθλησιν ἑλομένων. »

14. φ. 229α Μαρτύριον τῶν ἁγίων Ἴνδη καὶ Δόμνας καὶ τοῦ πλήθους τῶν δισμυρίων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων.

« Ἄρτι Μαξιμιανοῦ δεύτερον. »

15. φ. 263α Βίος καὶ πολιτεία τοῦ ὁσίου Μαρκέλλου ἀρχιμανδρίτου μονῆς τῶν Ἀκοιμήτων.

« Ἔννοιά μοι πολλάκις γέγονε. »

16. φ. 295α Βίος καὶ πολιτεία τῆς ὁσίας Μελάνης τῆς Ρωμαίας.

« Ἦν ἄρα καὶ τοῦτο τῆς μεγίστης τῶν πάλαι. »

Ἐν τέλει · « Τὸ παρὸν βιβλίον ἐγράφη χειρὶ Ἀντωνίου εὐτελοῦς ἱερομονάχου ἐν ἔτει ζρξδ (1656) διὰ συνδρομῆς καὶ ἐξόδου Ἀρσενίου καὶ Παϊσίου τῶν ἱερομονάχων καὶ ἐπροσηλώθη εἰς τὴν μεγίστην Λαύραν · οἱ δὲ ἀναγινώσκοντες εὔξασθε ὑπὲρ ἀμφοτέρων ἀντιβολῶ ἵνα ἐλέους ἀξιωθῶσιν ».

## 1561. — Λ 71. Νομοκάνων.

Χαρτ. 28 × 19 αἰῶν. ιζ' φ. 404 κολοβ.

Σύνταγμα κατὰ στοιχεῖον τῶν ἐμπεριειλημμένων ἁπασῶν ὑποθέσεων τοῖς ἱεροῖς καὶ θείοις κανόσι πονηθέν τε ἅμα καὶ συνταχθὲν τῷ ἐν ἱερομονάχοις κὺρ Ματθαίῳ τῷ Βλάσταρῃ (φ. 1-336 · Ἀκολουθοῦσιν εἶτα κανόνες καὶ διατάξεις πατριαρχῶν καὶ ἐπισκόπων, ὡς καὶ αἱ τῶν οἰκουμενικῶν καὶ τοπικῶν συνόδων κανόνες καὶ ἄλλα πλεῖστα).

## 1562. — Λ 72. Ψαλτήριον.

Χαρτ. 28 × 20 αἰῶν. ιη' (1755) φ. 141.

Οἱ Ψαλμοὶ τοῦ Δαυίδ.

Ἐν τέλει ·

« Ἡ βίβλος αὕτη τοῦ Δαυὶδ τοῦ προφήτου
κτῆμα δ' ὑπάρχει μεγάλ' Ἀθανασίου
τοῦ καθολικοῦ τῆς περιφήμου Λαύρας
τοῦ καὶ τούτων κτίτορος τῆς κατὰ Ἄθω ·
ἐγγέγραμμαι δὲ ὑπό τινος γραφέως
τοῦτον ἐμισθώσατο υἱὸς Ἀθανασίου
οἰκτρὸς μοναχὸς τοὔνομα Γεδεώνης
ὅς ποτε ἐχρημάτισε καὶ νοσοκόμος
κ' ἀνέθετό με τῷ πατρὸς αὐτοῦ οἴκῳ
ὡς ἔχων αὐτὸν πρὸς Θεὸν πρέσβυν μέγαν
Ἐγράφη ἐν ὁρίοις τῆς μεγίστης Λαύρας κατὰ τὸ αψνε' (1755) κατὰ μῆνα Ἰανουάριον. »

## 1563. — Λ 73. Ἰωάννου τῆς Κλίμακος.

Χαρτ. 29 × 21 αἰῶν. ιε' φ. 247 δίστηλ. ἀκέφ.

Ἰωάννου μοναχοῦ Λόγοι (30).

Ἐν φ. 228 β Παρίσταται ἡ Κλίμαξ μετὰ τῆς ἐπιγραφῆς « ἀναβαίνετε ».

## 1564. — Λ 74. Λαυσαϊκόν.

Χαρτ. 27 × 21 αἰῶν. ιζ' φ. 369.

1. φ. 1α Ἐπιστολὴ τοῦ ὁσίου πατρὸς ἡμῶν Παλλαδίου ἐπισκόπου Ἑλενουπόλεως πρὸς Λαῦσον πρεπόσιτον καὶ πρόλογος εἰς τοὺς βίους τῶν ἁγίων πατέρων.

2. φ. 205α Τοῦ μακαρίου καὶ ἀοιδίμου Θεοδωρίτου ἐπισκόπου Κύρου Φιλόθεος ἱστορία ἤτοι βίοι τῶν ἁγίων πατέρων.

3. φ. 331α Ἀποκάλυψις τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Θεολόγου.

Ἐν τέλει · « Θεοῦ τὸ δῶρον καὶ Νικηφόρου πόνος ».

## 1565. — Λ *75α. Λαυσαϊκόν.

Χαρτ. 29 × 21 αἰῶν. ις' φ. 126 κολοβ.

1. φ. 1α Ἐπιστολὴ τοῦ ὁσίου πατρὸς ἡμῶν Παλλαδίου ἐπισκόπου Ἑλενουπόλεως πρὸς Λαῦσον πραιπόσιτον καὶ πρόλογος εἰς τοὺς βίους τῶν ἁγίων πατέρων.

2. φ. 119α Μαρτύριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου.

« Ἄρτι τοῦ τῆς εἰδωλομανίας νέφους. »

Ἐν φ. 1 α « Τὸ παρὸν βιβλίον Λαυσαϊκὸν ἐγράφη εἰς τὴν τοῦ ἡγουμενείου ἐκκλησίαν παρά τε Θεολήπτου μοναχοῦ ἐκείνου τοῦ Μαντανάγκου καὶ Διονυσίου τοῦ ἐξ Ἰουδαίων καὶ οἱ ἀναγινώσκοντες εὔχεσθε αὐτοῖς ψυχικὴν σωτηρίαν, ἧς ἀξιωθείημεν πάντες ταῖς εὐχαῖς τῶν ἐν τῇ θεοπνεύστῳ βίβλῳ γεγραμμένων ἁγίων ».

Ἐν φ. 118 β « Ἡ δέλτος αὕτη ἀνετέθη γραφεῖσα παρὰ τοῦ ἁμαρτωλοῦ Θεολήπτου ἐν τῷ πανσέπτῳ ναῷ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου τῷ ὄντι ἐν τῷ ἡγουμενείῳ, ὅς τοὺς ἐντυγχάνουτας ταύτῃ ἁγίους πατέρας ἐκ μέσης παρακαλεῖ τῆς ψυχῆς ὑπερεύχεσθε τούτου · ἐπειδὴ πολλὰ πεπλημμεληκέναι εἰς Θεὸν λέγει ὅν ὁ γλυκύτατος Ἰησοῦς ἐλέους ἀξίωσον ».

## 1566. — Λ 75β. Ἐπιστολαί.

Χαρτ. 24 × 16 αἰῶν. ιε' φ. 43 ἀκέφ. κολοβ.

Ἐπιστολαὶ τοῦ Λεκαπηνοῦ (μετὰ ἑρμηνείας ἄνωθεν τοῦ κειμένου. Ἐκ τοῦ Κώδικος ἀφῃρέθησαν

223 φύλλα · τὰ τελευταῖα τρία φύλλα κατὰ τὸ ἥμισυ κατεστραμμένα).

### 1567. — Λ 76. Ψαλτήριον.

Χαρτ. 28 × 18 αἰῶν. ιϛ′ (1598).

Ψαλτήριον τοῦ προφήτου Δαυίδ.

Ἐν φ. 205 α

« Δαυὶδ μελωδὲ μουσικῆς ἀποκρύφου
σὺ μὲν δι' αὐτῶν καὶ θανὼν ζῇς τῶν λόγων
ἡμῖν δὲ τὴν σὴν ἐμμελῆ δίδως λύραν
ἧς ἐστιν εὑρεῖν ἐμμελῆ τὰ πρακτέα ·
καὶ γὰρ δι' αὐτῆς μυστικῶς κινουμένης
διώκεται μὲν ἐμπαθὴς πᾶσα φθίσις
ἐλαύνεται δὲ δυσχερὴς ἅπας πόνος
συστέλλεται δὲ συμφορῶν ἀπληστία
κοιμίζεται δὲ γνωστικῆς ἅλμης κλύδων
στηρίζεται δὲ τῶν παθῶν ἡ στερρότης
καὶ τέρπεται μὲν τῆς ψυχῆς ἡ σεμνότης
ἐλέγχεται δὲ τοῦ σατὰν ἡ φαυλότης
ἐκ τῆς νοητῆς τῶν μελῶν εὐρυθμίας ·
ὤ τὶς τοσαύτην εὗρεν ἀνθρώπων χάριν
εἰ μὴ σὺ τὴν πρέπουσαν ἀνθρώποις χάριν ».

Ἐν φ. 229 α « Ἐγράφη τὸ παρὸν ψαλτήριον διὰ χειρὸς ἐμοῦ Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου ἐπὶ ἔτους ζς′ (1598) ἰνδ. ι′.

Στίχοι ἰαμβικοὶ

Ἔσπευσαν ἄλλοι χρυσὸν εὑρεῖν ἐν βίῳ
ἄλλοι δὲ γῆν σπεύδουσιν ἢ καὶ μαργάρους
καὶ πάντα πλοῦτον προσλαβεῖν ἀπληστίᾳ
ὁ δεσπότης δὲ τοῦ παρόντος βιβλίου
τὴν καλλονήν τε τῶν τοῦ προφήτου λόγων
σοφῶς ἀνερῶν ἐξ ἔρωτος ἐνθέου
ὅθεν συνῆξε πλοῦτον ὃς μένει μόνος ·
ρεῖ πάντα γῆς γὰρ καὶ λόγος μένει μόνος ·
πληρώσας εἶπον σοὶ Χριστὲ δόξα πρέπει ».

Ἐν ἀρχῇ εἰκὼν τοῦ Δαυὶδ καλῆς τέχνης.

### 1568. — Λ 77. Βασιλείου τοῦ μεγάλου.

Χαρτ. 28 × 20 αἰῶν. ιϛ′ φ. 154 κολοβ.

Βασιλείου τοῦ μεγάλου Ὁμιλίαι εἰς τοὺς Ψαλμούς.

### 1569. — Λ 78. Διάφορα.

Χαρτ. 28 × 20 αἰῶν. ιϛ′ (1578) φ. 98.

Καὶ ὅπως τότε εἰς τὰς εὐγενεῖς προσπαθείας τοῦ πατριάρχου Γενναδίου « ἵνα παρανοίξῃ τὸν θριγγὸν τῆς ἐκκλησίας καὶ εἰς νομὰς ἐξαγάγῃ τὰ λογικὰ θρέμματα ζωτικάς, ἀσινῶν τηρουμένων καὶ τῶν ψυχῶν καὶ τῆς πίστεως αὐτῶν » ἀντετάχθησαν οἱ λυσσώδεις αὐτοῦ πολέμιοι ὑπὲρ τῆς διασώσεως τῶν πατρικῶν ὁρίων κοπτόμενοι, αὐτοὶ δὲ ἀναισχύντως ἔπειτα, ὡς γράφει ὁ Μηδείας πρὸς τὸν μέγαν ἐκκλησιάρχην (ἐπιστ. 14) « τὰς μεγάλας διήνοιξαν κλισιάδας, μᾶλλον δὲ ὅλως τὸν φραγμὸν περιεῖλον ἐφ' ᾧ καὶ τὰς ψυχὰς βλάπτεσθαι πολλῶν νεκρουμένης καὶ τῆς πίστεως ἐν αὐτοῖς τῇ ἐνδείᾳ τῶν ἔργων τῶν εὐσεβῶν », τὸ αὐτὸ ὡρισμένως καὶ ἀναμφιβόλως θὰ συμβῇ καὶ εἰς τὴν οἰκουμενικὴν σύνοδον. Ἡ ἰδέα ἡ ἐγωϊστικὴ ὅτι οἱ πατέρες θὰ ἀποτελέσωσι ἡμέραν τινὰ ἁγίων πατέρων χορὸν τὸ μυστήριον τῆς θεολογίας τρανώσαντα, καὶ θ' ἀποβῶσιν ἀστέρες πολύφωτοι τοῦ νοητοῦ στερεώματος, καὶ μυρίπνοα τοῦ παραδείσου ἄνθη, ἡ ἰδέα αὕτη τῆς ἀκόπου ἁγιότητος θὰ ἐπισκιάσῃ τοὺς κρότους καὶ τοὺς τριγμοὺς τοὺς ἀκουομένους ἐκ τοῦ συσεισμοῦ τοῦ ἱεροῦ καὶ μεγάλου ἐκκλησιαστικοῦ οἰκοδομήματος, καὶ θ' ἀκουσθῶσι λέξεις κανονικαὶ καὶ ὅροι πατέρων καὶ ὅρια πατέρων καὶ θὰ στήσῃ τὸν θρόνον αὐτῆς ἐν μέσῳ τοῦ χοροῦ τῶν ἁγίων ἐπηρμένη ἡ ὑπόκρισις καὶ κωφὴ καὶ ἀνάλγητος εἰς τὰς οἰμωγὰς τῆς ἁμαρτίας· οἱ δὲ Γεννάδιοι περιαλγεῖς καὶ συντετριμμένοι τὴν ἀξίαν καταθέμενοι θὰ τραπῶσιν εἰς τὰ τοῦ Μενοικέως ὄρη τὸν θεὸν δοξάζοντες ἐπὶ τῇ ἀπαλλαγῇ αὐτῶν ἀπὸ τοιούτου χριστιανικοῦ καὶ ἁγίου χοροῦ.

Δέον νὰ ἐννοηθῇ καλῶς ὑπὸ τῶν ἁρμοδίων ὅτι οἱ χρόνοι οἱ παρόντες δὲν ὁμοιάζουσι πρὸς τοὺς παλαιούς, ὅτι οἱ χριστιανοὶ ψυχρανθέντες πρὸς τὴν ἐκκλησίαν διὰ πολλοὺς λόγους οἰκειοποιήθησαν ἀρχὰς καὶ ἰδέας ἀλλοίας τοῦ παρελθόντος, καὶ ἂν αἱ ἀποφάσεις τῆς νέας συνόδου παραγνωρίσωσι τὸ τοιοῦτον καὶ κατοχυρωθῶσι εἰς παλαιὰ φρούρια οἱ τὰς ἐπάλξεις ταχθέντες νὰ φυλάττωσι, καὶ πεισμόνως ἀρνηθῶσι τὴν δύναμιν τῶν σημερινῶν ὅπλων τοῦ πνεύματος, πάντως τὰ ἀποτελέσματα θὰ ὦσιν ἀντίστροφα τοῦ σκοποῦ δι' ὃν συνέρχονται καὶ κινδυνώδη διὰ τὴν καθόλου ἐκκλησίαν. Ἡ σκέψις τῆς ἐκκλησίας ἦν πάντοτε ἡ σωτηρία τῶν πιστῶν· καὶ ἐν τῇ μερίνῃ αὐτῆς τῇ μητρικῇ ἐνομοθέτει καὶ ἀντενομοθέτει καὶ ἐκονόνιζε τὰ κατ' αὐτὴν συμφώνως πρὸς τὰς ἀνάγκας αὐτῶν. Διατὶ ἄλλως τε ὁ μέγας Βασίλειος καὶ οἱ μετ' αὐτὸν πατέρες κατὰ τοὺς ποικίλους χρόνους τῆς ἐκκλησιαστικῆς ζωῆς δὲν περιεκλείσθησαν εἰς τὰ ὑπὸ τῶν πρὸ αὐτῶν χαραχθέντα ὅρια, πατέρων καὶ ἐκείνων ἰσοτίμων καὶ τὴν αὐτὴν ἐχόντων ἐν τῇ ἐκκλησίᾳ ἐξουσίαν καὶ δύναμιν, ἀλλὰ μετεκίνησαν ταῦτα καὶ ηὔρυναν καὶ μετέστρεψαν, οὐχὶ ἐκ περιφρονήσεως, ἀλλ' ἐξ αὐτοῦ τοῦ συμφέροντος τῆς ἐκκλησίας ὁδηγούμενοι, ὅπερ οἱ καιροὶ καὶ τὰ πράγματα ἐπεζήτησαν· ἢ μήπως οἱ ἐπιζῶντες ἱεράρχαι ἐστερήθησαν τούτου τοῦ δικαιώματος καὶ ἀπεγυμνώθησαν τῆς ἐξουσίας ταύτης, ἵνα τὰ βλαπτικὰ καὶ ἀσύμφορα ὅρια, τὸ ὀρθὰ καὶ καλὰ τότε καὶ χρήσιμα μετακινήσωσιν εἰς ὅρια σωτηρίας πρὸς σωτηρίαν τόσων ψυχῶν. Ἐὰν τότε ὁ πατριάρχης Γεννάδιος ἐσκέφθη νὰ παρανοίξῃ τὸν τῆς ἐκκλησίας φραγμὸν καὶ διαρρυθμίσῃ τὰ ὅρια, πόσον σήμερον τὸ τοιοῦτον ἐπιβάλλεται, ὁπότε πολλοὶ φραγμοὶ καὶ οὐδεὶς φραγμός, μέθη ἀπάτης καὶ συναγερμὸς ἁμαρτίας κατατατεῦσι φραγμοὺς καὶ ἰσοπεδοῦσι φρούρια. Καὶ ἐὰν εἰς τοὺς χρόνους ἐκείνους ἀκούεται ὁ ἦχος τῆς θλιβερᾶς φωνῆς· « ὢ δίκη ἀπόλωλεν τῆς ἐκκλησίας ἅπαν σεμνὸν καὶ τίμιον· ἐξέλιπεν ἡ εὐλάβεια καὶ αἰδὼς καὶ ἡ πρὸς τὸν Θεὸν ἐλπίς, ἡ δὲ ἐκκλησία ἐναυάγησε καὶ βεβύθισται τῇ ἀπωλείᾳ τῇ τοῦ κλύδωνος ἐπικρατείᾳ », ποία λύρα Ἱερεμίου θὰ θρηνήσῃ τὰ σημερινὰ ναυάγια;

Ὡς ὁ Σχολάριος Γεννάδιος, οὕτω καὶ ὁ Μηδείας ἀπογοητευθεὶς ἐκ τῆς ἐκκλησιαστικῆς συγχύσεως καὶ ἀκαταστασίας ἀπεσύρθη ἐκ τῆς ἐνεργοῦ ὑπηρεσίας καὶ κατέμεινεν ἰδιωτεύων καυτηριάζων τὰ ἕλκη μετὰ θάρρους καὶ παρρησίας ἀξιοθαυμάστου (ἴδ. ἐπιστολ. 11, 12, 13, 14). Ἐν τῇ σχολῇ τοῦ Εὐγενικοῦ Μάρκου μορφωθεὶς ἀδιστάκτως πατάσσει τὰς παρανομούσας ἐκκλησιαστικὰς κορυφὰς τὰς διαπιστευθείσας τὴν κυβέρνησιν τῆς ἐκκλησίας μετὰ τὴν ἅλωσιν τῆς πόλεως, ἧς τὴν κατάστασιν τόσον ζωηρῶς εἰς τὰς περισωθείσας αὐτοῦ ἐπιστολὰς διεκτραγωδεῖ.

Ἐπὶ τῆς πατριαρχείας τοῦ Σχολαρίου ὁ Μηδείας ἦν μέγας οἰκονόμος ὡς φαίνεται ἐκ τῆς ἐπιγραφῆς τῆς πρὸς τὸν Εὐφημιανὸν Ἰγνάτιον ἐπιστολῆς ὅπως σώζεται ἐν τῷ Παρισινῷ Κώδικι 1292 φ. 171β « Ὁ Μηδείας ἔτι μέγας οἰκονόμος ὢν τῷ τιμιωτάτῳ ἐν μοναχοῖς Ἰγνατίῳ τῷ Εὐφημιανῷ ». Οὐδόλως δὲ ἀπίθανον ὅτι ὑπὸ τοῦ Γενναδίου προήχθη εἰς μητροπολίτην Μηδείας καταδιωχθεὶς μετὰ τὴν τοῦ Σχολαρίου παραίτησιν καὶ συκοφαντηθεὶς διὰ τὰς αὐτὰς δῆθεν παρανομίας ὑπὸ τῶν ἐχθρῶν τοῦ πατριάρχου περὶ τοῦ ὁποίου ὁμιλεῖ μετὰ σεβασμοῦ πάντοτε καὶ τιμῆς θεωρῶν αὐτὸν ἰσοστάσιον καὶ ἰσότιμον τῶν μεγάλων τῆς ἐκκλησίας πατέρων οὐδενὶ τῶν πρὸ αὐτοῦ τὰ πρωτεῖα παραχωροῦντα (ἴδ. τὸν περὶ Προνοίας λόγον) · ὁ καταδιωγμὸς οὐδαμῶς ἐζημίωσε τὸν Μηδείας · διότι οὗτος ἀναγκασθεὶς νὰ ἐφησυχάσῃ ἠσχολήθη εἰς μελέτας καὶ συγγραφὰς ὧν γνωσταὶ περιῆλθον μέχρις ἡμῶν ἡ κατὰ Ἰουδαίων καὶ περὶ Προνοίας σοβαρὰ πραγματεία, ὁ περὶ ψυχῆς λόγος, ὃν ὑποβάλλει εἰς τὴν κρίσιν τοῦ πατριάρχου Γενναδίου περὶ τοῦ ὁποίου οὗτος ἀντεπιστέλλων τῷ Μηδείας ὁμοίως πραγματείαν περὶ ψυχῆς λέγει · « Ἐδεξάμεθά σου τὸ σύγγραμμα καὶ καλῶς ἐπιστάντες ὡς ἠξίους μὲν ἐπῃνέσαμεν ἐπαίνων ἄξιον ὄν, τῷ δὲ συγγραψαμένῳ συνήσθημεν, τοῦτο μὲν τῆς πολυμαθοῦς ἀκριβείας περὶ τὰ θεῖα, τοῦτο δὲ καὶ τῆς θεόθεν ὁδηγίας πρὸς τὴν γνῶσιν τῶν ἀληθῶν[1] » (Κῶδ. Παρισίων 1292 φ. 227α-242). Καὶ τέλος αἱ δέκα καὶ ὀκτὼ αὐτοῦ ἐπιστολαὶ αἱ ἐνταῦθα νῦν δημοσιευόμεναι. Ἐκ τούτων ἡ 1, 4, 7 καὶ 9 ἀπευθύνονται τῷ φιλοσόφῳ Ἀμοιρούτζῃ, ὅστις ἀνταπαντᾷ τῷ Μηδείας (ἐπιστολ. 2, 6, 8) καὶ τῷ Κριτοβούλῳ πρὸς ὃν πέμπει τὸ τοῦ Μηδείας βιβλίον μετὰ ἐπιστολῆς πρὸς αὐτόν (ἐπιστ. 3). Ἡ 5 τοῦ Μηδείας εἰς τὸν ἱερομόναχον Γεράσιμον, ἡ 6 τοῦ αὐτοῦ πρός τινα τῶν ἀρχόντων πάσχοντα ἐκ πληγῆς κατενεχθείσης ὑπὸ ἐχθρικοῦ βέλους κατὰ τὴν ἄμυναν τῆς Πόλεως ἐν ᾗ μεταξὺ ἄλλων λέγει · « σκοπῆσαι δ' οὖν δυνηθείης, εὐγενέστατε, ὅτ' ὑπὲρ πόλεως παθεῖν καὶ ἐν τοῖς ἔπειτα μακαριστὸν ἔσεσθαι χρόνοις, ἀλλὰ δὴ καὶ τὴν τῶν προγόνων σοῦ τῶν μακαρίων καὶ ἰσοθέων φωτῶν ἐπὶ νοῦν ἀναλαβεῖν χρηστότητα, ὅση παρὰ πάντων μακαριότης περίεστιν ἰδεῖν ἄδεται ». Ἡ 11 τοῦ αὐτοῦ πρὸς τὸν μητροπολίτην Ἐφέσου τὸν ὁποῖον δριμύτατα ἐλέγχει διὰ τὰ τολμηθέντα ὑπ' αὐτοῦ παράνομα · ἡ 12 τῷ Χαλκηδόνος περιγράφουσα τὰς ἐν τῇ ἐκκλησίᾳ ἀταξίας καὶ τὰς συντελουμένας παρανομίας · ἡ 13 τῷ μεγάλῳ Σακελλαρίῳ ἐπιτιμητικὴ διὰ τὴν συμμετοχὴν αὐτοῦ εἰς τὰ ἐν τῇ ἐκκλησίᾳ τελούμενα ἄθεσμα · ἡ 14 καὶ 15 τῷ μεγάλῳ Ἐκκλησιάρχῃ μαστιγοῦσα ἀμειλίκτως τὸν ὕπουλον καὶ δόλιον καὶ ὑποκριτὴν τὸν καταδιώξαντα καὶ αὐτὸν καὶ τὸν πατριάρχην Γεννάδιον διαβαλόντα καὶ δικαιολογοῦσα τὰ ἐν τῇ πρὸς τὸν Εὐφημιανὸν Ἰγνάτιον γραφέντα. Ἡ 16 τῷ μοναχῷ Εὐφημιανῷ σπουδαιοτάτη ἀπὸ πάσης ἀπόψεως διά τε τὰς περὶ τοῦ Σχολαρίου εἰδήσεις καὶ τὴν λοιπὴν ἐκκλησιαστικὴν κατάστασιν · ἡ 17 τῷ Μανουὴλ Παλαιολόγῳ παρ' οὗ ζητεῖ τὸν εἰς τὴν Χριστοῦ Γέννησιν φιλοπονηθέντα λόγον τοῦ πατριάρχου Γενναδίου. Εἰκάζω δὲ ὅτι ὁ ἐν λόγῳ Μανουὴλ Παλαιολόγος εἶνε ὁ νεώτερος υἱὸς τοῦ Θωμᾶ Παλαιολόγου, ἀδελφοῦ τοῦ τελευταίου αὐτοκράτορος τοῦ Βυζαντίου, περὶ οὗ Κωνσταντῖνος ὁ Λάσκαρης λέγει · « τῶν δὲ υἱῶν (τοῦ Θωμᾶ) ὁ μὲν νεώτερος ὑπ' ἀπορίας κατέφυγεν εἰς τὸν Τοῦρκον, ὅπου προνοίας τυχὼν καλῶς ἔζη μέχρι τοῦ παρόντος · ὁ δὲ πρῶτος Ἀνδρέας ἀγύρτης γενόμενος περὶ πολλὰ τῆς Εὐρώπης πλανᾶται, ἔτει 1491 » (Migne τομ. 161 σ. 968) · καὶ ἡ 18 τινὶ τῶν ἀρχιερέων ἐπιτιμητικὴ διὰ τὴν πρὸς τὸν Ἀγχιάλου διαγωγὴν αὐτοῦ ὃν κατεδίκασαν ἀδίκως καὶ ἀνεξετάστως.

Ἐκ τῶν ἐπιστολῶν τούτων τοῦ Μηδείας 8 εὕρηνται καὶ ἐν τῷ ἀνωτέρω μνησθέντι Παρισινῷ Κῶδ. ὑπ' ἀριθ. 1292 καὶ δὴ ἡ 11, 12, 13, 14, 15, 16, 17, 18, ἐν ᾧ κεῖται καὶ ὁ περὶ ψυχῆς λόγος τοῦ Μηδείας (φ. 205α), ἀλλ' ὑπὸ ἄλλην διάταξιν · ὡς πρώτη εὕρηται ἡ 16, δευτέρα ἡ 14, τρίτη ἡ 15, τατάρτη ἡ 13, πέμπτη ἡ 11, ἕκτη ἡ 12, ἑβδόμη ἡ 17, καὶ ὀγδόη ἡ 18 · καὶ ἡ διάταξις αὕτη φρονῶ ὅτι εἶναι ἡ χρονολογικὴ ἀφοῦ κατὰ τὰς ὑποδείξεις τοῦ αὐτοῦ Κώδικος ἡ 16 ἡ πρὸς τὸν Εὐφημιανὸν Ἰγνάτιον ἐγράφη ὅτε ὁ Μηδείας ἦν ἔτι μέγας Οἰκονόμος.

Μετὰ τῶν ἐπιστολῶν τοῦ Μηδείας καλὸν ἔκρινα νὰ γνωσθῇ καὶ ἡ περὶ Προνοίας πραγματεία αὕτη καίτοι ἐστερημένη τῆς ἀρχῆς αὐτῆς · διότι ἐκτὸς τοῦ ὅτι οὐδὲν ἄλλο ἀπόγραφον ἠδυνήθην νὰ εὕρω τὰς Βιβλιοθήκας ἐρευνῶν ἵνα συμπληρώσω τὰ ἐλλείποντα τοῦ ἐμοῦ Κώδικος, ἀλλὰ καὶ διὰ τὴν σπουδαιότητα τοῦ ἔργου καὶ δὴ τὰς ἐγκατεσπαρμένας ἐν αὐτῷ κρίσεις περὶ τῶν ἔργων Μάρκου τοῦ Εὐγενικοῦ καὶ Γενναδίου τοῦ Σχολαρίου. Ἐν τῷ ἔργῳ αὐτοῦ ὁμολογεῖ παρρησίᾳ ὁ Μηδείας ὅτι « τῶν νῦν δὲ εἰρημένων μοι ἐν τῷ ζητήματι τούτῳ (περὶ προνοίας) τὰ πλεῖστα ἐκ τοῦ τοιούτου συγγράμματος (τοῦ Μάρκου Εὐγενικοῦ) ἀναλεξαμένῳ μοι λέλεκται πολλὰ καὶ αὐταῖς λέξεσιν · οὐ γὰρ αἰσχύνομαι τοῖς ἐκείνου σοφωτάτοις ῥήμασιν ὡραϊζόμενος, ἰδίως κἀμοὶ διδασκάλου τυγχάνοντος καὶ καθ' αἷμά μοι προσήκοντος ». Δικαιολογεῖ δὲ ἐν ταὐτῷ καὶ τὴν πλάνην τοῦ Μάρκου ἐν τῷ « περὶ ὅρων ζωῆς[1] » συγγράμματι αὐτοῦ καὶ

---

1. Ἀμφότεροι οἱ περὶ ψυχῆς οὗτοι λόγοι ἐδημοσιεύθησαν ἐν βιβλίῳ ἐπιγραφομένῳ · « Νικηφόρου μοναστοῦ καὶ πρεσβυτέρου τοῦ Βλεμμύδου ἐπιτομὴ λογικῆς ξυγγραφεῖσα Ἰωάννῃ Δουκί τε καὶ βασιλεῖ τῷ Βατάτζῃ περίπου τῷ ασλδ' ἔτος τὸ σωτήριον κατὰ δὲ τὸ αχε' ἐν Αὐγούστῃ τῶν Βινδελικῶν τυπωθεῖσα τύποις δεύτερον ἐκδοθεῖσα μετὰ τῆς ἐπιτόμου αὐτοῦ φυσικῆς · ἐφεξῆς δὲ ὅ τε περὶ σώματος τοῦ αὐτοῦ καὶ περὶ ψυχῆς ἐκτέθειται λόγος, μεθ' οὓς ὁ περὶ τῆς αὐτῆς ὑποθέσεως τῆς ψυχῆς Θεοφάνους τε τοῦ Μηδείας καὶ Γενναδίου τοῦ Σχολαρίου · καὶ τελευταῖον ὅ τε περὶ πίστεως καὶ ἀρετῆς καὶ ἀσκήσεως τοῦ αὐτοῦ Βλεμμύδου προηγουμένης τούτων τῆς καθολικωτέρας αὐτοῦ ἐπιστολῆς · ἐκδίδοται δὲ φιλοτίμῳ πάντα δαπάνῃ τοῦ χριστιανικωτάτου ἐν πραγματευταῖς κυρίου Παναγιώτου Ἰωαννίτου τοῦ χατζῆ Νίκου · ἐν Λειψίᾳ τῆς Σαξονίας ἐν τῇ τυπογραφίᾳ τοῦ Βρεϊτκόπῳ · ἔτει αψπδ' ».

1. Ἡ περὶ ὅρων ζωῆς πραγματεία Μάρκου τοῦ Εὐγενικοῦ εὕρηται ἐν τῷ Λαυριωτικῷ Κώδ. Ω 56 φ. 285 α.

ἐκθέτει τοὺς λόγους δι' οὓς Μάρκος προήχθη πρὸς συγγραφὴν αὐτοῦ, καὶ ὑπὸ τίνος διδασκάλου δελεασθεὶς περιέπεσεν εἰς τὴν πλάνην ταύτην. Περὶ δὲ παρομοίου συγγράμματος τοῦ πατριάρχου Γενναδίου ὁμιλῶν λέγει · « Μετὰ δὲ ταῦτα ὁ μακαριώτατος καὶ μέγας πατὴρ καὶ διδάσκαλος πατριάρχης Κωνσταντινουπόλεως κύρις Γεννάδιος σοφώτατος ὢν καὶ θεολογικώτατος καὶ παρὰ πάντων ἔχων τὸ συγκεχωρηκὸς καὶ μηδενὶ παραχωρεῖν τοῦ πρωτείου μήτε τῶν πάλαι μήτε τῶν νῦν, σύγγραμμα καὶ αὐτὸς ἐξέθετο περὶ θείας Προνοίας καὶ προορισμοῦ τὴν ἐπιγραφὴν ἔχον, ἐν ᾧ λεπτοῖς νοήμασι καὶ σοφωτέραις ἀποδείξεσιν ἐπιστημονικαῖς τε καὶ ἀπὸ τῶν ἱερῶν εἰλημμέναις Γραφῶν καὶ ἀπ' αὐτῶν τῶν τῆς εὐσεβοῦς πίστεως ἀρχῶν παρίστησι σαφῶς ὡς ἡ θεία πρόνοια πάντα διοικεῖ τὰ ὄντα καὶ προέγνω καὶ προεῖδε καὶ προώρισε πάντα καὶ κυβερνᾷ καὶ διεξάγει... καὶ ὁ ἐντυχὼν τῷ τοιούτῳ συγγράμματι εἴσεται καλῶς ὃ λέγω, οὗ τοῖς πλείστοις ἐχρησάμην καὶ αὐτὸς νῦν ἐν τοῖς παροῦσι λόγοις, ὥσπερ καὶ τοῖς τοῦ Ἐφέσου, μὴ δεδιὼς τὸ ὄνειδος τοῦ τῆς παροιμίας κολοιοῦ · οὐ γὰρ ἀρνοῦμαι ὅτι ὡραΐζομαι τοῖς ἐκείνων σοφωτάτων ὄντων καὶ ἀμφοῖν, διδασκάλων τε καὶ προμάχων τῶν τῆς ἐκκλησίας δογμάτων. »

Ἐν τῷ ἐμῷ Κώδικι προηγεῖται ἡ περὶ Προνοίας πραγματεία τοῦ Μηδείας καὶ ἕπονται αἱ ἐπιστολαὶ αἵτινές εἰσιν αὗται :

1

## Ὁ Μηδείας τῷ φιλοσόφῳ Ἀμοιρούτζῃ

φ. 18β.

Ὀλίγα τῶν ἐμῶν συγγραμμάτων ἰδεῖν ἐπιζητήσαντι ἄσμενος τὸν λόγον δεξάμενος τὰ πλείω σοι πέπομφα, σοφῶν ἄριστε, οὐ κατ' ἐπίδειξιν τὸ θαῦμα θηρώμενος — οὐ γάρ, εἴτι καὶ θαύματος ἄξιον πρόσεστιν αὐτοῖς, τοῦτ' ἐμὸν τίθεμαι, τῶν δὲ συγγραψαμένων τὴν ἀρχήν, ὧν καὶ συγγράμματα μᾶλλον ἂν καλεῖτο, ἐξ ὧν ὡς ἐξ ἐράνου ταῦθ' ἡμῖν συντέθειται — ἀλλὰ τὸν τοῦ ψεύδους ἔλεγχον γνωρίζων καὶ τὴν τῆς ἀληθείας ἐπικουρίαν τῇ τε σῇ σοφίᾳ καὶ ἄλλοις τοῖς ἀληθείας φίλοις · τῷ δὲ τελείῳ τῆς σῆς σοφίας ἔνεστι συνιδεῖν, εἰ καλῶς ταῦτα συντετάχαται, μή πού τι καὶ ἡμᾶς οἴκοθεν παρενείραντας λέληθεν ἡ τοῦ ὀρθοῦ ἀκρίβεια, ᾧ καὶ μᾶλλον συντίθεμαι · ἀποχρήσει δ' ἡ τῆς σῆς σοφίας ἐπίκρισις ἀντὶ πάντων τῶν εὐφημουμένων ἐπὶ σοφίᾳ, ὧν ὑπέρτερος μὲν εἶσθα, εἰ κατ' ἐκείνους ἐγεγόνεις, καὶ νῦν δ' ἐκείνων μετ' ἐκείνους οὐδενὸς εἶ δεύτερος. Μὴ ἀπαξιώσῃς τοίνυν εὐθύνουσαν χεῖρα τούτοις ὀρέξαι · σοῦ γὰρ κρίνοντος, αὐτῆς τῆς σοφίας ἀκούειν δόξομεν

2

## Ὁ φιλοσοφος Ἀμοιρούτζης τῷ Μηδείας

φ. 18β.

Ἄσμενος ἐδεξάμην τὸ βιβλίον, ὃ κατὰ Ἰουδαίων καὶ περὶ Προνοίας σοι γέγραπται · ἐκείνους τε ὅπως ἐλέγχεις περὶ πλείστου εἰδέναι ποιούμενος καὶ ὅ τι σοι περὶ προνοίας δοκεῖ καὶ ἅμα βεβαιότερόν τι περὶ τῆς σῆς ἐπὶ λόγοις δόξης ἐθέλων λαβεῖν · ἐπεὶ δὲ ἀνέγνων καὶ τὸν νοῦν κατέμαθον τῶν γεγραμμένων ἥσθην τε καὶ ἐθαύμασα τό τε ἀναγκαῖον τῶν ἀποδείξεων καὶ τὴν μετὰ τοῦ σαφοῦς περιβολὴν καὶ τὸ μετὰ χάριτος τῆς λέξεως ἀφελές · οὐ γὰρ ἐδόκουν εὐλόγως ἔτι τοιόνδε σώζεσθαι λείψανον τῆς πρὶν εὐδαιμονίας ὥστε καὶ τὴν δόξαν ἣν εἶχες — εἰρήσεται καὶ πρὸς σέ τ' ἀληθές — ἐπὶ τὸ πολλαπλάσιον ηὔξησας, καίτοι καὶ πρὶν ὑπῆρχεν οὐ φαύλη τις, ἀλλ' οὐκ ἀξία ἧς νῦν συνῆκα δυνάμεως · Χαῖρε τοίνυν, ὦ θαυμάσιε, καὶ μὴ λήγοις τοιάδε παιδία ἐν γήρει τίκτων.

Τὰ δέ γε περὶ προνοίας σοι εἰρημένα δεῖται ἔτι οὐκ ὀλίγου λόγου · εἰ μὲν γὰρ ἅπαντα ὑπὸ τῆς προνοίας γίνεται τὰ τῇδε καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν, δῆλον ὅτι μάταιον τὸ φυλάττεσθαι · οὐ γὰρ ἔσται τι πλέον ἐντεῦθεν οὐδέν · ἴσως δὲ καὶ ἀσεβὲς νομίζειν οἷόν τε εἶναι νομίζειν τὴν θείαν ψῆφον διαφυγεῖν · εἰ δέ τι καὶ ἐνδεχομένως πρόσεστιν ἀπὸ τῆς φύσεως, οὐκ ἄδικον ἴσως πειρᾶσθαι σώζειν αὑτὸν ἀπὸ τοῦ τοιούτου, εἰ λυμαίνεται τὴν ἡμετέραν ζωήν, καθάπερ εἴ τις δράκοντος ἐπιόντος φεύγει ἢ ἐμπρησμοῦ συμβάντος ἀποχωρεῖ · δοκεῖ γὰρ εἴ τι πρόσεστιν ἐνδεχομένως μὴ ἂν εἶναι τοῦτο ἀπὸ τῆς πρώτης ἀρχῆς · διότι δίχως ἀνάγκης τὸ τοιοῦτον συμβαίνειν ἢ τῆς αἰτίας ἀσθένεια ἢ τῷ εἶναι τι κωλύον ἔξωθεν ὧν οὐδέτερον χώραν ὁπωσοῦν ἔχει ἐπὶ τῆς πάντων ἀρχῆς · εἰ δὲ τοῦτο ἀληθὲς οὐκέτι ἀσεβὲς ἴσως εἴ τις τὰ ὑπὸ τῆς φύσεως μὲν γινόμενα, λυμαινόμενα δὲ ἄλλως τὴν ἡμετέραν ζωήν, φυλάττεσθαι ἐπιχειρεῖ · οἷον χειμῶνας ἐξαισίους ἢ πνεύματα καὶ σκηπτοὺς ἢ τοιαῦτα ἕτερα οἷον καὶ ἡ τοῦ ἀέρος δοκεῖ τυγχάνειν φθορά · καὶ γὰρ τοῦτο γίνεται ἐνίοτε ὑπὸ τῆς φύσεως · τοὐναντίον μὲν οὖν δόξειεν ἂν καὶ πειράζοντος εἶναι, εἴ τις τοιοῦδέ τινος συμβεβηκότος μὴ ἐθέλοι τὰ ἐπ' αὐτῷ ποιεῖν · ὥσπερ ἂν εἴ τις κύματος ἐπιόντος αὐτὸς μὲν ἐνὸν μὴ ἀναχωρεῖ μηδὲ ἀποφεύγει, τὸν δὲ Θεὸν μόνον αὐτὸν ἀξιοῖ σώζειν · τοῦτο γὰρ οὐδὲν διαφέρει τοῦ εἰς προὖπτον ἑαυτὸν κίνδυνον ἐμβαλεῖν εἶτα τοῦ Θεοῦ δεῖσθαι σωθῆναι, ὃ σαφῶς ἐκπειράζοντός ἐστι τὸν Θεόν. Δοκεῖ τοίνυν μοι ἀναγκαῖον εἶναι ἐκεῖνο προσαποδεῖξαι ὅτι πάντα τὰ τῇδε γινόμενα ἁπλῶς ὑπ' αὐτῆς τῆς προνοίας εἰ μέλλοι τὸ συμπέρασμα ἐξ ἀνάγκης συμβαίνειν · ἀλλὰ τοῦτο χαλεπὸν ἴσως ἀποδειχθῆναι · Εἴ τι οὖν περὶ τούτου σοι πραγματευθήσεται ἡδέως ὄψομαι · βούλομαι γὰρ μαθεῖν ὅπῃ τοῦτο δυνατόν.

3

## Ὁ φιλόσοφος τῷ Κριτοβούλῳ

φ. 19α.

Τὸ τοῦ Μηδείας βιβλίον μόλις σχολῆς λαβόμενοι διήλθομεν · καὶ τὰ μὲν ἄλλα ἔδοξεν ἡμῖν πολλοῦ ἄξιον εἶναι, καὶ εἴγε ἐνῆν στεφανώσαντες ἂν

τὸ βιβλίον ἀνεπέμψαμεν ἄν τῷ πατρί · τοῖς δὲ περὶ προνοίας λόγοις ἔνεστί τις ἀμφιβολία περὶ ἧς καὶ ἐν τῇ ἐπιστολῇ πρὸς αὐτὸν διαλαμβάνομεν. πέμπομεν οὖν σοι καὶ τὸ βιβλίον καὶ τὴν ἐπιστολήν, τὸ μὲν ὅπως ἀποδώσῃς, τὴν δὲ ἐπιστολὴν εἴ τι μὴ καλῶς ἔχοι διορθώσας αὐτὸς ἐπιδώσῃς.

4

## Ὁ Μηδείας τῷ φιλοσόφῳ τῷ Ἀμοιρούτζῃ.

φ. 19β.

Ὁ ταῖς ἀσυγκρίτοις ὑπεροχαῖς τὰ ὑπὸ τὴν αἴσθησιν πάντα φωταυγῆ κάτω τιθεὶς ἥλιος ἔσθ' ὅτε καὶ ζοφεροῖς ἐπιλάμπων περιουσίᾳ λαμπρότητος λαμπρὰ καὶ αὐτὰ δείκνυσι · καὶ αὐτὸς δέ, λαμπρότατε, τῷ φωτὶ τῆς σοφίας πάντας ὑπερλάμπων τοῖς ἡμετέροις λόγοις ἠέρα ἐνημμένοις, ποιητικῶς εἰπεῖν ἐς δεῦρο, φῶς ἐνῆκας ὥστε καὶ εἰς ὄψιν ἔρχεσθαι τοῖς βουλομένοις θαρρῆσαι τὴν πρὶν δειλίαν ἀποθεμένοις τῇ τῆς σοφίας ἐπικρίσει · τοῦτο μέν σου τῶν καλῶν ἕν, τὸ καλῶς λέγειν ἀεί · καὶ ἕτερον δὲ ἡμῖν ἐχαρίσω τὸ εὖ πράττειν εὐξάμενος πάλαι τοῦτο ἀποβεβληκόσιν · ὥστε καὶ τὸν τοῦ μύθου Ἀμφιγνίην ὑπερβαλέσθαι, μὴ ὅτι γε τῇ ἐπ' ἀμφοῖν ταῖν ἰγνύαιν ἐπικλίσει, ἀλλ' ὃ καὶ χεῖρον σφόδρα καταπτώσει · ἔνθεν μὲν τῇ τῆς πρὶν εὐτυχοῦς ἐλευθερίας μεταβολῇ, ἑτέρωθεν δὲ τῇ δυστυχεῖ τῶν τῆς ἐκκλησίας προστατῶν παρατροπῇ · πῶς δ' ἄν εὖ πράξαιμεν καὶ πότε, τοῦ ταῦτ' ἀνακαλέσθαι σχεδὸν ὄντος ἀπεγνωσμένου · ἀλλὰ σὺ μέν, ἄριστε, τῇ τοῦ ἤθους σου χρηστότητι τὰ βελτίω ἡμῖν καὶ ηὔξω καὶ ἐδωρήσω, τῷ Θεῷ δὲ μελήσει τούτων εἰ καὶ ἡμῖν, ὡς εἰκὸς, ἐκείνου μελήσει.

Ἐνδεῖν μέντοι γε τοῖς περὶ προνοίας ἡμῖν εἰρημένοις λόγου τινος διὰ τὴν ἡμετέραν ἐν λόγοις ἀσθένειαν οὐδὲν ἀπεικός · εἰ δὲ τοῖς ὑπὲρ λίαν λογίοις οἱ τῆς προνοίας λόγοι πεφύκασιν ἄρρητοι, τί ἐροῦμεν ἡμεῖς οἱ μὴ οὕτως ἔχοντες τοῖς αὐτοὺς ἐπαγγέλλουσιν · ὡς δ' ἐνῆν ἡμῖν εἴρηται ἐν οἷς τέσσαρας τρόπους τῆς προνοίας εἶναι ἐλέγομεν, ὧν εἷς ἐστι καὶ ὕστατος ὁ κατ' ἐγκατάλειψιν γινόμενος. Πειθόμεθα γὰρ τῷ ἐκ Δαμασκοῦ θεορρήμονι καὶ τὰ κατ' ἐγκατάλειψιν τοῦ Θεοῦ τελούμενα ὑπὸ τὸν λόγον τῆς προνοίας εἶναι φάσκοντι, ὅν οὐκ ἄν τις αἰτιάσαιτο τὴν πρώτην ἀρχὴν φρονοῦντα τῶν ἀπὸ τῆς ἐγκαταλείψεως κακῶν εἶναι αἰτίαν · εἰ γάρ τις ὑποδιαιροίη τὸν τρόπον τοῦτον ἐπ' ὠφελείᾳ γίνεσθαι ἢ τοῦ πεπονθότος τι τῶν ἀνηκέστων ἐρεῖ ἢ ἑτέρων ἐξ αὐτοῦ σωφρονιζομένων, προσθείη δ' ἄν τις καὶ ἐπὶ διαίρεσιν τό, ἢ κατὰ τὸν παρόντα βίον ἔσται ἡ ὠφέλεια ἢ κατὰ τὸν μέλλοντα, ἅ τὶς ἄν φαίη μὴ τῆς προνοίας εἶναι · αἱ δὲ ἱστορίαι καὶ ἐν ἀμφοῖν ταῖν Διαθήκαιν πολλοὺς παριστῶσι πυρός τε καὶ θηρῶν καὶ βυθοῦ καὶ παντοίων θανασίμων ἀνωτέρους ὀφθέντας τῷ μὴ ἐγκαταλειφθῆναι, ἔχεσθαι δὲ μᾶλλον τοῦ Θεοῦ · τὴν δὲ πρόνοιαν οὐχ ὡς οἱ πολύθεοι τὴν εἱμαρμένην ὁ τῆς εὐσεβείας πρεσβεύει λόγος · ἐφ' ᾧ μὴ ἔχειν τινὰ τὸ πεπρωμένον διαφυγεῖν, ἀλλ' ὡς θείαν διοίκησιν οἰκονομοῦσαν πάντα πρὸς τὸ συμφέρον, κἄν ὁποῖον ἄρα καὶ ᾖ, καὶ τὰ πάντα μικρά τε καὶ μείζω κυβερνῶσαν καὶ διακοσμοῦσαν κατὰ τὰ θεῖα λόγια, ἡ προσάπτειν ἀσθένειαν ἢ ἑτέρωθεν λύμην τινα οὐ πρὸς εὐσεβοῦς ἐστι διανοίας · ἐπ' αὐτῇ γάρ ἐστι καὶ τὸ γίνεσθαι καὶ τὸ μὴ καὶ τὸ ὅπως ἑκάτερον · τὸ δὲ ἐνδεχόμενον ξένον τῆς θείας προνοίας τιθέμεθα · ἀνθρώπινον γὰρ καὶ τῶν συμβαινόντων τῇ ἀνθρωπίνῃ διαίτῃ · ἐνδέχεται γάρ με τῇ ὑστεραίᾳ εἰς ἀγορὰν ἀπαντῆσαι ἢ λούσασθαι ἢ μή, νόσου ἐπιγενομένης ἢ ἑτέρου κωλύματος · τά γέ τοι καθολικῶς ὑπὸ τῆς θείας γινόμενα κυβερνήσεως οὐχ οὕτως ἔχει, ἀλλ' ἀναγκαίως ὑπὸ Θεοῦ γίνεται κινοῦντος τάς τε φύσεις καὶ τὰ στοιχεῖα πρὸς τὰς ἡμετέρας διαθέσεις · καὶ ἄρχων γὰρ ὁ τυχὼν εἰ μὴ δουλεύει πάθει ἀναγκαίως κολάζει τοὺς ἀξίους τούτου καὶ ἀναγκαίως δωρεῖται οὐκ ἀπὸ τοῦ ἐνδεχομένου ἀλλ' ἀπὸ τοῦ ἰδίου ἀξιώματος καὶ τῆς ἐξ αὐτοῦ ἰσχύος ἔχων τὴν ἐπ' ἀμφότερα ῥοπήν · ἡμεῖς δὲ καταχρώμενοι τῇ λέξει φαμέν, ἐνδέχεται χειμῶνα γενέσθαι ἢ αὐχμὸν ἢ λοιμὸν ἢ τι τοιοῦτον · τῆς γὰρ πρώτης αἰτίας ἤρτηται τὰ τοιαῦτα δωρουμένης τῇ τε φύσει καὶ τοῖς στοιχείοις τήν τε κίνησιν καὶ τὸ τὰ τοιαῦτα ἐνεργεῖν · τοὺς δὲ λόγους τῶν ἐκ τῶν ἐνεργειῶν τούτων ἀποτελεσμάτων, εἴτε σκυθρωπὰ εἶεν εἴτε χαρίεντα, ἀρρήτους ὁ τῆς πίστεως εἴωθε καλεῖν λόγος · καὶ γὰρ εἰσὶ τοιοῦτοι ὡς ὑπὸ τῆς ἀκαταλήπτου σοφίας τελούμενοι ὑπερβαινούσης τὴν ἀνθρωπίνην ἀπείρῳ τῷ μέσῳ · τούτους γὰρ οἶδε μόνος ὁ τῆς φύσεως καὶ τῶν στοιχείων δημιουργός, ὃς ἐνῆκε καὶ τῇ φύσει τοῦ ἀλόγου ζῴου αἴσθησιν φυλάττεσθαι τοὺς προφανεῖς κινδύνους καὶ ὡς τὸ ἐνὸν φυλάττεται. Ἀλλ' εἴπερ ἦν αὐτάρκης ἡ ἀπὸ τῆς αἰσθήσεως τούτου φυλακή, οὐκ ἄν ποτε κινδύνῳ περιέπιπτεν, ἀλλ' ἔστιν ὅτε καὶ ἀπόλλυται κινδύνῳ · ὅθεν δεῖ μὲν φυλάττεσθαι τοὺς κινδύνους θέλοντος τοῦτο καὶ τοῦ Θεοῦ · δῶρον γάρ ἐστιν αὐτοῦ ἡ ἐπὶ τοῦτο αἴσθησις ἀλλὰ καλῶς χρῆσθαι τῷ δώρῳ χρή · τὸ γὰρ περιγενέσθαι τοῦ κινδύνου ἢ μὴ οὐκ ἔστιν ἐπ' αὐτῷ, ἀλλὰ καὶ ἑτέρας δεῖται δυνάμεως τῆς τοῦ Θεοῦ πάντως, κατὰ τὸν εὐσεβῆ λόγον, ὃς ἄπειρος ὢν ἀπείρους ἔχει τὰς ἐνεργείας, καὶ οὐ μόνον τὰ ὑψηλὰ ἀλλὰ καὶ τὰ ταπεινὰ ἐφορῶν, κατὰ τὸν προφήτην, καὶ οὐδὲν τῶν γινομένων ἔξω τῆς ἑαυτοῦ προνοίας ἐᾷ · τὸ δὲ γε μὴν ἡγεῖσθαί τινα αὐτάρκως ἔχειν τὴν ἀφ' ἑαυτοῦ φυλακὴν ῥύσεσθαι αὐτὸν τοῦ κίνδυνου καὶ ἐπ' αὐτὴν πεποιθέναι καὶ τοιούτῳ πράττειν τι σκοπῷ, πλάνη σαφής · πῶς γὰρ οὔ πολλῶν κεκινδυνευκότων μετ' αὐτῆς; πρὸς δὲ καὶ ἀθέτησις γίνεται τοῦ παντοδυνάμου τοῦ Θεοῦ, ὅπερ ἐστι καὶ αὐτοῦ καὶ ἀσεβείας μεστόν · ὁ γὰρ μὴ τοῦτ' ἔχων, ἀλλ' οὐ λέγω τὸ βλάσφημον. Ἐπὶ τούτοις οὖν φαμέν, ὡς ἡ τῆς καθ' ἡμᾶς ἐκκλησίας ἱερὰ διδασκαλία τὴν πολύθεον ἐκκλίνουσα πλάνην, μᾶλλον δὲ καὶ ἀναιροῦσα ταύτην, ἕνα Θεὸν δημιουργὸν καὶ προνοητὴν καὶ κυβερνήτην τοῦ παντὸς κηρύττει, ἵνα μὴ τῇ αὐτῇ πλάνῃ καθυπαχθείη διαφόρους ὑφιστῶσα δυνάμεις αἰτίας τῶν γινομένων ἢ γενομένων · καὶ τοῦτο οὐχ ὥς τι μηχάνημα ἀφ' ἑαυτῆς κατὰ ταύτης ἐπινενόηκεν,

ἀλλ' ἀπὸ τοῦ τῆς πίστεως ἀρχηγοῦ μεμάθηκε τοῦ ἀεὶ ἐργαζομένου καὶ τὰ ἐν λειμῶνι ἄνθη ἐπιχρωννύντος καὶ τὴν ἐν παγίδι τοῦ στρουθίου πτῶσιν ἐκδιδόντος, ᾧ συνῳδὰ μυσταγωγοῦσι καὶ οἱ αὐτῷ φοιτήσαντες καὶ ἡμῶν διδάσκαλοι · « οὔτε γάρ φησι τοῦ τρέχοντος οὔτε τοῦ διώκοντος ἀλλὰ τοῦ εὐδοκοῦντος Θεοῦ καὶ πάντα ἐκ Θεοῦ » · εἰπὼν δὲ ταῦτα συνέκλεισεν ἅπαντα καὶ οὐδὲν ἔξω καταλέλοιπε. Ταῦτα εἰ μὲν ἱκανῶς ἀποδέδοται σοὶ ἡ χάρις τῷ πρὸς τὰ τοιαῦτα σπουδάσματα ἡμᾶς κεκινηκότι · εἰ δέ τι ἐνδεῶς ἴσως τῷ μὴ ἐπαΐειν ἡμᾶς τὸ βάθος τοῦ προβαλλομένου, ὡς κελεύεις σαφήνισον ἵνα καὶ πλείους τὰς χάριτας ὁμολογήσωμεν.

5

## Ὁ Μηδείας Γερασίμῳ ἱερομονάχῳ.

φ. 20β.

Ἧκον, ὡς ἐπιθόμην, ἔς τε χεῖρας καὶ ὄψιν τῆς σῆς τιμιότητος τὰ πρὸς τὸν φιλόσοφον γράμματα, ἥσθης τε ἰδὼν αὐτὰ καὶ ἐθαύμασας · ἐγὼ δὲ ᾔδειν σε πάλαι τοῖς ἐμοῖς χαίροντα πάντοτε, οὐχ ἥκιστα δὲ νῦν ἡσθήσεσθαι ἔμελλες καὶ θαυμάσειν, οὐ μᾶλλον τῆς ὕλης τῶν γραμμάτων ἢ τῆς πρὸς ἡμᾶς σου εὐνοίας ὀτρυνούσης πρὸς ἄμφω · ἥ τε γὰρ ὕλη ἀστεία καὶ ἡ εὔνοια σαφὴς καὶ οὐ πρόσφατος. Ὅ γε μὴν ἀπαιτοῦσί τινες, εἰ πάντα τὰ καθ' ἡμᾶς ὑπὸ τῆς θείας γίνεται προνοίας καὶ οὐκ ἔστιν ἃ καὶ ὑπὸ τῆς φύσεως ἐνδεχομένως ἢ τῶν στοιχείων ἀποδεῖξαι, πάλαι τε ἀπεδείξαμεν ἐν τοῖς διεξοδικωτέροις λόγοις ὅπως ἡ τοῦ δημιουργοῦ πρόνοια πάντα ἐνεργεῖ · εἰ δέ τι καὶ ἡ φύσις ἢ τὰ στοιχεῖα δοκοῦσί τι ἐνεργεῖν, κατὰ τὸ δοκοῦν τῇ θείᾳ κυβερνήσει ἐπιτελοῦσι · καὶ νῦν ἐπιτομώτερον τὰ αὐτὰ εἰρήκαμεν ἐν τοῖς πρὸς τὸν φιλόσοφον ἀπὸ τῆς ἱερᾶς διδασκαλίας ἐν ἑκατέροις ἐπιχειροῦντες · εἰ δ' ἔστι τις ὁ τοῖς στοιχείοις καὶ τῇ φύσει τὴν κυβέρνησιν ἀνατιθεὶς τῶν καθ' ἡμᾶς ἑλληνίζων ἴστω, οὐ μοι δοκῶν ἔχων ἀποδεῖξαι τοῦτο ἀπὸ τῆς ἱερᾶς διδασκαλίας, ἀπὸ δὲ τῆς τῶν πολυθέων καὶ μάλα, περὶ ἧς ἡμῖν λόγος οὐδείς, καταργηθείσης ὡς μωρᾶς ὑπὸ τῆς πανσόφου καὶ θείας. Εἰ δ' Ἀναστάσιος δοκεῖ τι λέγειν συνῳδὸν ἐκείνῃ δοκοῦν, ἀλλ' ὥσπερ συναισθόμενος σαφηνίζει φάσκων · « μηδεὶς δὲ ἀκούσας ἡμῶν εἰρηκότων ἐξ ἀέρων γίνεσθαι θνῆσιν νομίσῃ ὅτι χωρὶς θεοῦ ταῦτα γίνεσθαι εἰρήκαμεν · ἠκούσαμεν γὰρ τοῦ εἰρηκότος, ὅτι δύο στρουθία ἀσαρίου πωλεῖται καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς · διὸ καὶ ἅπερ ὁ ἀὴρ καὶ ἡ κτίσις πᾶσα καὶ ἡ φύσις ἐνεργεῖ νεύματι Θεοῦ ἐπιτελεῖ » · καὶ αὖθις · « μὴ θαμβώθῃ δέ τις μηδέ τι βλάσφημον περὶ Θεοῦ ἐννοήσειε μαθὼν ἀκριβῶς ὅτι ταῦτα πάντα καὶ τὰ τοιαῦτα οὐκ ἐκτὸς μὲν τῆς παντεπόπτου καὶ προνοητικῆς τοῦ δημιουργοῦ διαπράττεται γνώσεως, οὐχ ἑτέρῳ δὲ τρόπῳ ἢ διὰ τῆς τῶν θεοκτίστων στοιχείων ἀρχαιοδότου καὶ θεοσδότου εὐτάκτου κυβερνήσεως καὶ τάξεως καὶ φυσικῆς διοικήσεως · πλὴν οὐχ ὁριστικῶς οὐδὲ ἐριστικῶς, ἀλλὰ γνωμικῶς καὶ εἰκαστικῶς εἰρήκαμεν δυσωποῦντες τοὺς γνωστικωτέρους καὶ συγγνωμονοῦντας ἡμῖν ἀναπληροῦν τὰ ἡμέτερα ἴσως ἐλλείματα ». Νοῦ τοίνυν βάρος ἔχοντός ἐστιν ἐκ τούτων συνιδεῖν τὴν ἐν πνεύματι σύνεσιν τοῦ μακαρίου τούτου · ἐφ' ᾧ τοῦτον μὲν θαυμάσαι τῆς ἐπὶ τὴν ἀλήθειαν καταφυγῆς, καταγνῶναι δὲ τῶν ἀπερισκέπτως, ἤ πως εἴποιμ' ἂν εὐφημότερον, πάντα λεγόντων εἴπερ ἐκεῖνος μὲν ὅ τῇ φύσει καὶ τοῖς στοιχείοις νέμει οὐχ ὁριστικῶς ἀλλ' ἀπὸ γνώμης ἰδίας ὅσον εἰκάσαι παρέχειν ὁμολογεῖ, παραιτεῖται δὲ τοὺς γνωστικωτέρους τὰ ἐνδεῶς αὐτῷ εἰρημένα ἀναπληροῦν τρόπον τινά, καὶ ὅσον εἴρηκε φθάσας διασαλεύων · οἱ δὲ ἐριστικῶς αὐτὸ εἰς σύστασιν ὧν λέγουσι μεθοδεύουσιν ἐπικουρίᾳ συκίνῃ, κατὰ τὴν παροιμίαν, τὰ αὐτῶν ἐρείδοντες · εἶεν δ' ἂν γνωστικώτεροι ὁ λοιπὸς τῶν ἱερῶν διδασκάλων χορός, πάντα ἐκ Θεοῦ ἀποφαινόμενοι, οἷς ἀντιφάσκει πάντως ὁ τοῦ οὗ ἀντιπαρατιθεὶς καὶ πρὸ πάντων τὰ ἱερὰ λόγια ἐξ ὧν καὶ Ἀναστάσιος ὁμολογεῖ μαθεῖν τἀληθὲς τὰ περὶ τῶν στρουθίων ἀναλαβών, ὧν καὶ αὐτός, συνετώτατε, θιασώτης ὢν οὐχ ἁμαρτήσῃ τοῦ προσήκοντος.

6

## Ὁ φιλόσοφος Ἀμοιρούτζης τῷ Μηδείας.

φ. 21α.

Τὰ γράμματα ἅπερ ἡμῖν αὖθις περὶ Προνοίας ἀπέστειλας οὐ τὴν σὴν ἐδήλουν μόνον ἣν ἔχεις διάθεσιν εἰς ἡμᾶς, ἀλλὰ καὶ τὴν συνισταμένην ἐπὶ τῇ προνοίᾳ, εἰ πάντα κατ' αὐτὴν γίνεται, ἀπορίαν ἱκανῶς ἔλυσε · καὶ χάρις σοι γένοιτο πρὸς Θεοῦ τῆς τε εἰς ἡμᾶς χάριν φιλίας, ὑφ' ἧς πεπεισμένος τοιαῦτα περὶ ἡμῶν ὑπείληφας καὶ τῶν καλῶν λόγων, οἷς πάντα τῆς πρώτης ἀρχῆς ἐξηρτημένα δεικνύεις. Ὃ δὲ ἐκ τῶν πολλῶν λόγων ἐκείνων ἡγοῦμαι συμβαίνειν τοῦτό ἐστιν, ὅτι πάντα μὲν ὑπόκειται τῇ θείᾳ προνοίᾳ καὶ οὐδὲν αὐτῆς ἀποπίπτει, ἀλλ' οὐκ ἀδύνατον ταύτης τοιαύτης οὔσης τὴν φύσιν ὅμως αἰτίαν ἐν τοῖς φυσικοῖς εἶναι, οὐδ' ἀναιρεῖ τὴν πρόνοιαν ἡ ταύτης ὑπόθεσις · ἐπεὶ καὶ αὕτη κατ' ἐκείνην συνέστη τὴν ἀρχὴν καὶ ἐνεργεῖ διὰ παντός · ὥστε καὶ τὰ ταύτης ἔργα εἰκότως ὑπ' ἐκείνης τετάχθαι. Ταῦτα οὖν ἄριστα ἡ σὴ σοφία συνῆκε · σώζεται γὰρ οὕτω γε καὶ τὸ πάντα κατὰ πρόνοιαν καὶ εἶναι καὶ γίνεσθαι, καὶ τὸ τὴν φύσιν ἐν οἷς ἐστιν τὸ ἑαυτῆς ποιεῖν · σημεῖον δὲ ὅτι τινὰ καὶ ἀποπίπτει τοῦ τέλους οὗ ἕνεκα γίνεται. μάλιστα μὲν ἐν τοῖς ζώοις, ἐνίοτε δὲ καὶ ἐν τοῖς φυτοῖς · τοῦτο γὰρ οὐδαμῶς προσήκει τῇ πρώτῃ ἀρχῇ, ἐπεὶ μηδέποτε αὕτη ἀποτυγχάνει · δηλοῖ δὲ οὐδὲν ἧττον καὶ τὰ κατὰ προαίρεσιν γινόμενα · καὶ γὰρ τούτων προαίρεσις μὲν αἰτία, ἀλλ' ὅμως ὁ θεῖος προορισμὸς ἐντεῦθεν οὐκ ἀναιρεῖται, οὐδ' ὅλως ἡ πρόνοια · ἐπεὶ τὸ εἶναί τινα καὶ ἐφ' ἡμῖν αὕτη διετάξατο, ὥστε καὶ τῶν οὕτω γινομένων ταύτην πως εἶναι αἰτίαν · καὶ χρῆται δὲ εἰς τὸ δέον ἐνίοτε τῇ κακίᾳ οὐκ αὐτὴ μὲν ποιοῦσα, τάττουσα δὲ αὐτὴν ᾗ δεῖ γενομένην. Ταῦτα τε οὖν οὕτω συμβαίνοντα, ἐξ ὧν ἐπέστειλας, ὑπολαμβάνω καὶ αὐτὸς

οὕτω νομίζω. Ὅτι δὲ ἡ φύσις αἰτία τῶν γινομένων ἐστὶ καὶ ὁ μακάριος Μωυσῆς δηλοῖ. « Εἶπε γάρ φησιν ὁ Θεός. Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς » · καὶ ἐπάγει · « καὶ ἐγένετο οὕτως » · ἐξ ὧν δείκνυται ἐναργῶς ὡς ἡ μὲν πρώτη τῶν ὄντων πρόοδος γέγονεν ἀπὸ τοῦ Θεοῦ, ἡ δὲ μετὰ ταῦτα αὐτῶν γένεσις ὑπὸ τῆς φύσεως ἑκάστοτε ἀποτελεῖται · ἔνια δὲ κἀνταῦθα ὑπὸ τῆς προνοίας γίνεται καθ' ἑαυτὸ μεταβαλλούσης τὴν φύσιν εἰς ὃ βούλεται, οὐ μὴν ἅπαντα · ἀναιρεῖται γὰρ αὐτίκα ἡ φύσις, ὅπερ οὐ δεῖ τιθέναι · τὰ μὲν γὰρ φυσικὰ ὡς ἐπὶ τὸ πλεῖστον τὸν εἰωθότα γίνεται τρόπον, ἔνια δὲ καὶ ἀεί · τὰ δὲ κατὰ πρόνοιαν ἰδίως ἄλλοτε ἄλλως, καθὼς αὕτη βούλεται · τὰ μὲν οὖν περὶ προνοίας ἐκ τῶν λόγων συμβαίνοντα, ταῦτα δὲ εἴ τι καὶ διαιτᾶν δεῖ · ἃ δὲ τούτων ὑποτεθέντων περὶ τοῦ φυλάττεσθαι συμβαίνει δεῖν εἶναι νομίζειν καὶ τί ποιητέον κινδύνου τινος ἐπιόντος οὐδὲν ἔτι προσδιορίζειν χρή · δῆλον γὰρ ὡς ἡ σὴ σοφία διέκρινεν ὅτι τὸ μὲν πειρᾶσθαι τοὺς ἐπιόντας ἀποφεύγειν, τό γε ἐφ' ἡμῖν ἧκον, κινδύνους οὐκ ἀθέμιτον · τὸ μέντοι νομίζειν ἱκανὸν εἶναι τοῦτο εἰς σωτηρίαν καὶ μὴ τῇ θείᾳ προνοίᾳ θαρρεῖν ἀνόσιον · δεῖ γὰρ τὰ μὲν ἐφ' ἡμῖν αὐτοῖς πανταχοῦ ποιεῖν, ἐκ τοῦ Θεοῦ δὲ τὴν σωτηρίαν ἐλπίζειν. Ταῦτα ἄριστα καὶ ταῖς κοιναῖς εὐνοίαις συμβαίνοντα ἡ σὴ σοφία διώρισε καὶ οὐκέτι ἀμφιβολίας καταλείπεται τόπος. Ἐρρωμένον ἡμῖν ὁ Θεός σε διαφυλάττοι, σεβασμιώτατε πάτερ.

7

## Ὁ Μηδείας φιλοσόφῳ τῷ Ἀμοιρούτζῃ

φ. 22$^{α}$

Οὐκ ἠγνόεις μέν, ὦ θαυμάσιε, τοὺς ὑγιεῖς περὶ προνοίας λόγους πάλαι τούτους ἀναλεξάμενος ἐκ τῶν περὶ αὐτῆς πεφιλοσοφηκότων φιλοσόφων ἀνδρῶν, προσθήειν δ' ἂν καὶ ἱερῶν, ἐπεὶ τινὲς τῶν μὴ τοῦ καθ' ἡμᾶς τῶν μακαρίων τοῦ ἱεροῦ καταλόγου καὶ ἀξύμβατά τινα περὶ προνοίας ἐδόξασαν · γνῶναι δὲ βουληθεὶς ὅπως ἔχομεν καὶ ἡμεῖς δόξης περὶ αὐτῆς τὴν πεῖραν ἡμῖν ταύτην ὑφῆκας, οὐχ ὥς τι κερδάνων πλέον, διδάξων δὲ μᾶλλον καὶ ἀναπληρώσων εἴ τι τοῦ περὶ αὐτῆς ἡμῖν ἐνδεῖ λόγου · ἀλλ' ἡμεῖς ὡς ἐνῆν τὸν λόγον ἀποδεδώκαμεν καὶ αὐτὸς ἀπεδέξω καὶ συνάδειν ἀλλήλους ἡμᾶς τῆς περὶ αὐτῆς ἀπεφήνω δόξης · πάντα γὰρ λέγομεν ὑποκεῖσθαι τῇ θείᾳ προνοίᾳ ἀλλ' οὐδὲν αὐτῆς ἀποπίπτειν, τὴν δὲ φύσιν ἐν οἷς ἐστι τὸ αὐτὸ δρᾶν, ὑπουργικῶς δρᾶν ἐχούσης τὸ ἐνδόσιμον παρὰ Θεοῦ, ὃ δηλοῖ τὸ « εἶπεν ὁ Θεός · ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου · καὶ ἐγένετο οὕτως ». Εἰ γὰρ ἡ μετὰ ταῦτα γένεσις ὑπὸ τῆς φύσεως ἑκάστοτε ἀποτελεῖται, ἀλλ' ἐπείπερ ἔσθ' ὅτε καὶ ἔνια γίνεται ὑπὸ τῆς θείας προνοίας καθ' αὑτὸ μεταβαλλούσης τὴν φύσιν εἰς ὃ βούλεται, εὔδηλον ὅτι τὸ κυρίως δρᾶν πρὸς τῆς θείας ἐστὶ προνοίας, ἧς ἐπιτασσούσης μὲν γίνεται τὰ γινόμενα παρὰ τῆς φύσεως, μεταβαλλούσης δ' ὅτε βούλεται ταύτην, ὃ πρὸ τοῦ δρᾶν εἶχεν οὐ γίνεται · ὥστ' ἀνάγκη δεῖσθαι ταύτην θείας ἐπιταγῆς τὸ ἑαυτῆς κατὰ συνέχειαν δρᾶν, ὑπουργικῶς πάντως · εἰ δὲ καὶ ἀεὶ δρᾷ, ἀλλ' ἐπείπερ ὑπόκειται τῷ ὑπουργεῖν, ἀεὶ πέφυκεν ὑπουργική. Τοῦτο τοίνυν ἀπὸ τῶν πρὸς ἐμὲ σου γραμμάτων συνελών, ἄριστε, ἠγάσθην τε ὅσον οὐκ ἔστιν εἰπεῖν, καὶ ἔτι μᾶλλον ἐθέμην τούτῳ τῷ δόγματι. Ἀλλὰ οὐ λέληθας, ὦ σοφώτατε, ἀντιφάσεως γραφόμενος ἡμᾶς · δεῖν μὲν φυλάττεσθαι τοὺς κινδύνους ἐν τοῖς πρὸς σὲ γράμμασιν εἰρηκότας ὡς θέλοντος τοῦτο καὶ τοῦ Θεοῦ, ἀνόσιον δ' αὖ τοῦτο τιθεμένους ἐν τοῖς περὶ προνοίας λόγοις · οὐ γὰρ περὶ τῶν αὐτῶν τἀναντία ἀπεφηνάμεθα, περὶ δὲ ἄλλου καὶ ἄλλου κινδύνων εἴδους ἔφημεν ἑκάτερα · ὅθεν καὶ διοριστέον μοι δοκεῖ νῦν ἵνα καὶ τῆς αἰτίας ἑαυτοὺς ἀπολύσωμεν · ἐν μὲν γὰρ τοῖς λόγοις ἐκείνοις καθαπτόμενοι τῶν τιθεμένων τὸ φυλάττεσθαι τὸν ἐκ τοῦ λοιμοῦ θάνατον ἔνθα ὁ λοιμώδης ἀὴρ ἐπιπολάζει, ἀπεδείξαμεν ὡς τοῦ λοιμοῦ θεομηνίᾳ γινομένου καὶ τοῦ ἀέρος κατὰ συγχώρησιν Θεοῦ τοῦτο πεπονθότος καὶ δρῶντος ἐν οἷς τὸν θάνατον δρᾷ, οὐ τὸν τόπον χρὴ φεύγειν · οὐ γὰρ αἴτιος οὗτος τοῦ κακοῦ, ὥσπερ οὐδὲ ὁ Θεός, ἀλλ' ἑαυτὸν ἕκαστον διορθοῦν καὶ ἐξευμενίζειν αὐτόν, ὅτι « ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται » καὶ οὐκ ἐν ἐρήμοις τόποις · οὐδεὶς γὰρ ἔρημος Θεοῦ τοῦ μὴ μόνον διὰ τοῦ ἐφθαρμένου ἀέρος τὴν τῶν πρωτοτόκων θνῆσιν τοῖς Αἰγυπτίοις ἐπαγαγόντος, ἀλλὰ καὶ τὴν ἐπ' αὐτοὺς πεμφθεῖσαν ἀκρίδα, τήν τε ἐρυσίβην καὶ τὸν βροῦχον ἑαυτοῦ δύναμιν μεγάλην καλέσαντος, ᾧ συνάδουσι μὲν καὶ ἄλλοι τῶν μακαρίων ἀνδρῶν καὶ τὴν θείαν σοφίαν εὖ ἠσκηκότων, ὡς ἄριστοι μαθηταὶ καλῷ διδασκάλῳ, οὐχ ἥκιστα δὲ καὶ ὁ σοφὸς Συνέσιος φάσκων · « ὅτε οὖν δεῖται κολαστῶν ὁ Θεὸς χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων δαίμοσι, νῦν δὲ ὧν ἔργα λοιμοί » · καὶ προϊών φησι · « καὶ γὰρ τὴν ἀκρίδα τὴν λυμηναμένην ἡμῶν τοὺς καρποὺς καταποντιστὴς ἄνεμος ἄρας ὦσεν εἰς μέσον τὸ πέλαγος » · καὶ ἔτι · « ταύτῃ μὲν οὖν τῇ πληγῇ τὸν νότον ἀντέταξεν ὁ Θεός » · ὥστε ὁ Θεὸς διὰ τῆς φύσεως καὶ τῶν στοιχείων ἃ βούλεται δρᾷ, ὑπουργούντων τῇ αὐτοῦ κελεύσει καὶ βουλήσει · τούτου οὖν δρῶντος διὰ τούτων, ὡς δι' ὀργάνων κολάζοντος τοὺς ἀξίους τούτου, οὐ δεῖ φεύγειν αὐτοὺς τοπικῶς φυλαττομένους τὴν τοῦ Θεοῦ δίκην, μεμνημένους τοῦ λέγοντος πρὸς τὸν Θεόν · « ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω » · καὶ Ἀναστάσιος δὲ ὁ θεῖος « δύο, φησί, τρόποι καθ' οὓς τὰ θανατικὰ γίνεται · εἷς κατὰ ἀπειλὴν Θεοῦ καὶ παιδείαν ἀνθρώπων, δεύτερος δὲ ἀπὸ φθοροποιῶν ἀέρων · ἀλλ' ὁ μὲν κατὰ ἀπειλὴν Θεοῦ ἀκατάληπτος, ἡ δὲ ἐξ ἀέρων κατὰ συγχώρησιν Θεοῦ γινομένη θνῆσις καταλαμβάνεται ». Ὥστε καὶ ὁ φθοροποιὸς ἀὴρ κατὰ συγχώρησιν Θεοῦ δρᾷ ἐν οἷς συγχωρεῖται · οὐ γὰρ ἅπαντας θανατοῖ οἷς ἂν ὁμιλήσει · ἕνα δὲ τῶν τῆς προνοίας τρόπων καὶ τὸ κατὰ συγχώρησιν ἡ θεία διδασκαλία τῶν μακαρίων παραδίδωσι. Τὸ φεύγειν τοίνυν τοπικῶς καὶ οὐ τῷ δεῖν

φυλάττεσθαι τὸν κίνδυνον νομίζειν καὶ μὴ ἐπὶ τὸν Θεὸν καταφεύγειν πνευματικῶς, ἀντιπράττοντός ἐστι τῷ θείῳ βουλήματι καὶ μὴ συγχωροῦντος αὐτῷ τὸ παντοδύναμον καὶ διὰ τοῦτο ἀνόσιον. Τοῖς λόγοις μὲν οὖν τούτοις ἐν τοῖς λόγοις ἐκείνοις ἀνόσιον ἀπεφηνάμεθα τὸ φυλάττεσθαι τὸν τοιοῦτον κίνδυνον, ἐν οἷς καθολικῶς παρὰ Θεοῦ τοιοῦτόν τι γίνεται, ἐπ' ἐκείνους τε χωρείτω ταῖς πλείοσιν ἐντευξόμενος ἀποδείξεσιν ὁ βουλόμενος· ὅ δὲ εἰρήκαμεν ἐν τοῖς πρὸς τὴν σὴν μεγαλόνοιαν γράμμασιν, ὅτι δεῖ πάντα ἄνθρωπον αἴσθησιν εἰληφότα παρὰ Θεοῦ τὸν προφανῆ κίνδυνον ἐπιγινώσκειν καὶ μὴ κατὰ κρημνῶν ἑαυτὸν ὠθεῖν μηδ' ἐπὶ πυρᾶς κυβιστᾶν μηδὲ κατὰ ξιφῶν ὀρχεῖσθαι, ἢ ξυναντήσαντα θηρίῳ μὴ ὑποχωρεῖν ἀλλὰ καὶ ἐπεμβαίνειν, ἄλλου κινδύνων εἴδους ὄντος μερικῶν καὶ οὐ κατὰ θεομηνίαν γινομένων· ἕκαστον γὰρ τῶν εἰρημένων δι' ἑτέραν τινὰ χρείαν γίνεται· οὐκ ἀντιφάσκει εἰ φυλάττεσθαι δεῖν τοὺς τοιούτους κινδύνους ἀπεφηνάμεθα· τούτου γὰρ χάριν αἴσθησιν αὐτῶν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐδωρήσατο· εἰ δέ τι καὶ τούτων κατὰ θεομηνίαν γένηται, ὁ ταύτης ὑπεύθυνος οὐ φευξεῖται τὸν κίνδυνον κἂν ὅτι μάλιστα φυλάττηται. Ταῦτα ἐκ τοῦ ἱεροῦ διδασκαλείου τῶν θεοσόφων ἀνδρῶν μεμαθηκότες καὶ πρότερον συνεγραψάμεθα καὶ νῦν συνοπτικώτερον ἐξεθέμεθα καὶ χάριτας ὁμολογοῦμέν σοι τοῖς τοιούτοις ἡμᾶς κινοῦντι σπουδάσμασιν.

8

## Ὁ Ἀμοιρούτζης τῷ Μηδείας.

φ. $23^{α}$.

Αἰδεσιμώτατε πάτερ, οὔτε ἐγώ τι τοιοῦτον τοῖς σοῖς ἕπεσθαι λόγοις, οἷον αὐτὸς ἔφης, ὑπέλαβον, οὔτ' ἴσως ἔνεστιν οὐδεμία αὐτοῖς ἀντίθεσις· οὐ γὰρ εἶχε λόγον ὑπολαβεῖν περὶ σοῦ ὡς φεύγειν τε καὶ οὐ φεύγειν ἀπὸ τοῦ αὐτοῦ κινδύνου τῷ εἴδει ἀξιοῖς, ὁ δὲ διορισμὸς φανερώτατα καὶ εἴτις ἀπορία προσῆν ἔλυσεν· ἀντιφάσει μὲν οὖν οὕτω γε οὐδαμῶς ὁ λόγος σοι περιπίπτει· δοκεῖ δὲ ὅμως τὸ ζητούμενον λαμβάνειν· τὸ γὰρ μὴ δεῖν ἐκεῖθεν φεύγειν ἔνθα λοιμὸς γέγονεν ἐκ τοῦ πάντα ὑπὸ τῆς θείας γίνεσθαι προνοίας οἶμαι ἐδείκνυτο· φεύγειν γὰρ ἀπὸ τῶν οὕτω γινομένων ἀνόσιον· τοῦτο δὲ νῦν ἀναιρεῖται ὑπὸ τοῦ διορισμοῦ· εἰ γὰρ δεῖ φεύγειν ἀπό τινος κινδύνου, δῆλον ὅτι ἐκ τῆς θείας προνοίας οὗτος ἂν εἴη· ἡ μείζων οὖν ἀναιρεῖται· ταύτης δὲ ἀναιρουμένης, ὁ τὴν ἐλάττονα τιθέμενος τὸ ζητούμενον ἄντικρυς ἀξιοῖ, εἰ μὴ ἄρα ἄλλοθεν ἐδείκνυτο ὡς ὑπὸ τῆς ἐπιστολῆς ἐδηλοῦτο· εἰ μὲν οὖν κατὰ πρόνοιαν ὁ λοιμὸς ἅπας συμβαίνει ἢ μή, οὐ προὔργου ἐμοὶ σκοπεῖν· ὅ δὲ περὶ παντὸς ἐποιούμην ὑπὸ σοῦ κυρωθῆναι γέγονεν, ὡς ἄρα οὐ πάντα ὑπὸ τῆς θείας ἁπλῶς γίνεται προνοίας ἀλλ' ἔνια καὶ δι' ἑτέρας αἰτίας· τοῦτο γὰρ καὶ αὐτὸς συγχωρεῖς, οἷς φευκτέα τινὰ εἶναι νομίζεις τῶν γινομένων· τοῦτο δέ ὑπὸ τῆς σῆς ψήφου κεκυρωμένον δίχα πάσης ἀμφιβολίας κατέχω.

9

## Ὁ Μηδείας φιλοσόφῳ τῷ Ἀμοιρούτζῃ.

φ. $23^{β}$.

Οἶδ' οἶδα τὸν νοῦν ἔφησεν ὁ κωμικός· καὶ ποῦ τῶν ἐμῶν εἴρηται λόγων, ὦ σοφώτατε, τὸ ἀξύμβατον τοῦτο ῥῆμα ὡς οὐ πάντα ὑπὸ τῆς θείας γίνεται προνοίας, ἀλλ' ἔνια καὶ δι' ἑτέρας αἰτίας ἀπρονοήτως, ἢ τί φήσεις καὶ τίνα ἂν εἶεν ἐκεῖνα μάτην ὑπὸ Θεοῦ γεγονότα ἢ αὐτομάτως; οὐχ οὕτω μεμήναμεν ἐφ' ᾧ τὰ τῶν ἀσεβῶν ἐρεῖν· ἀλλὰ πῦρ καὶ ὕδωρ καὶ σκόπελος καὶ εἴ τι τοιοῦτον πρὸς τῷ ἐν ὑποστάσει εἶναι καὶ ἐπ' ὠφελήμοις δεδημιούργηται χρείαις ἀνθρωπίναις καὶ οὐ κατὰ θεομηνίαν· εἴτι δὲ πρόσεστιν αὐτοῖς βλαπτικὸν φευκτέον τοῖς γε νοῦν ἔχουσιν· ὁ δὲ λοιμὸς ἀεὶ βλαπτικὸς καὶ οὐχ ὑπόστασις καὶ κατὰ θεομηνίαν γινόμενος καὶ καθολικώτερον, ἐκεῖνα δὲ ἐν μέρει· σοφιζομένου τοίνυν ἐστὶ τὸν αὐτὸν ποιεῖσθαι λόγον περὶ τῶν μὴ τῶν αὐτῶν· εἰ δέ τις τούτων ἑαυτὸν ἐπιρρίψειε τρόπῳ τινὶ τῶν τῆς προνοίας, αὐτῷ τούτῳ γίνεται βλαπτικὸν καὶ κατὰ θεομηνίαν· ὥστε οὐκ ἀναιρεῖται ἡ μείζων· εἰ δὲ καὶ αὐτὸς Ἀριστοτέλης μεθ' ὧν ἐπραγματεύσατο συλλογισμῶν καὶ προτάσεων εἴτε σοφιστικῶν εἴτε μὴ τοιούτων, ἐπελθὼν ἡμῖν ἄλλο τι φρονεῖν ἀξιοῖ, ὃ μὴ συνίστησι τὸ παντοδύναμον καὶ παντέφορον καὶ προνοητικὸν τοῦ Θεοῦ, σὺν ἐκείνοις αὐτῷ χαίρειν ἐροῦμεν· καὶ λοιπὸν ὃ κατέχεις διαπέπτωκεν· οὐ γάρ μοι συγκεχώρηται οὐδὲ κεκύρωται.

10

## Τοῦ Μηδείας πρός τινα τῶν ἀρχόντων.

φ. $23^{β}$.

Πολλάκις πυνθανομένῳ περὶ τῆς εὐκλεοῦς εὐγενείας σου ἀεί μοι καταγγέλλονται σφοδραί τινες τοῦ ἕλκους σου καὶ δειναὶ περιωδινίαι ὑπὸ τῆς ἐπελθούσης σοι περὶ τὰ τείχη βολῆς ἔξωθεν ἀμύνοντι· σκοπῆσαι δ' οὖν δυνηθείς, εὐγενέστατε, ὅθ' ὑπὲρ πόλεως παθεῖν καὶ ἐν τοῖς ἔπειτα μακαριστὸν ἔσεσθαι χρόνοις, ἀλλὰ δὴ καὶ τὴν τῶν προγόνων σου τῶν μακαρίων καὶ ἰσοθέων φωτῶν ἐπὶ νοῦν ἀναλαβεῖν χρηστότητα, ὅση παρὰ πάντων μακαριότης περίεστιν ἰδεῖν ᾄδεται· τῶν τοιγαροῦν μιμητὴς γενέσθαι μὴ κατοκνήσῃς καὶ περὶ τῶν ἐπερχομένων τῇ ἐκκλησίᾳ δεινῶν χεῖρα βοηθείας ὀρέξαι· ἤδη γὰρ τὸ πικρὸν τῆς σιμωνίας ἔργον ἀναφανὲν ἐξόλεθρον παντάπασι τὸ γένος ἡμῶν καταναγκάζει γενέσθαι· μὴ δυνάμενος δὲ πλατύτερον περὶ τούτου γράψαι διὰ τὰς ἐπελθούσας μοι ἀσθενείας τῷ κομιστῇ τουτωῒ παρήγγειλα διηγήσασθαί σοι.

11

## Ὁ Μηδείας τῷ μητροπολίτῃ Ἐφέσου.

φ. 24α.

Ἐκ τῆς νόσου ἀνασφήλας προσφωνῶ σοι τῇ φίλῃ μου κεφαλῇ. Τί ταῦτα, ὦ φίλων ἄριστε, τῆς τῶν Ἐφεσίων ἱερᾶς μητροπόλεως ποιμενάρχα καὶ λόγοις τοῖς κατὰ σὲ ποιμαίνων αὐτὴν καὶ μηδὲν πρὸ τῆς ἀληθείας ὀφείλων τιμᾶν; οὐκ ἔδει σε τοῖς κειμένοις τῆς ἐκκλησίας νόμοις ἐπαμύνειν ἢ μᾶλλον κατορχεῖσθαι τούτων; οὐκ εὐλαβῇ τὸν ἐπιτιμῶντα σοι προφήτην « εἰ ἐθεώρεις κλέπτην συνέτρεχες αὐτῷ » φάσκοντα; ὦ νόμοι, ὦ θεσπίσματα ἱερά, ὦ θεῖοι μυσταγωγοὶ οἱ ταῦτα θεσπίσαντες, ὦ Θεὲ πρῶτε πάντων καὶ διδάσκαλε νῦν λῆρος ὅσα τεθεσπίκατε · τὸ « μὴ φοβεῖσθε ἀπὸ τῶν ἀνθρώπων » μάταιον, τὸ « μὴ κρίνετε κατ' ὄψιν » ἀνόητον, τὸ « ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν » ψεῦδος · ὢ τῆς βίας! ταῦτα γὰρ ἄντικρυς φασὶν οἱ τούτων ἀφροντισταίνοντες. Σὲ δὲ οὐκ ἔδει τοιοῦτον εἶναι, τοιοῦτον ὄντα · ἐξέθλιψαν ἡμᾶς τὰ ἐν Χίῳ οἷς πιστεύειν οὐκ εἴχομεν ὑπὸ τῆς εὐνοίας εἰργόμενοι καὶ τὴν σὴν εἰδότες περὶ τὰ τοιαῦτα διάθεσιν, εἰ καὶ γράμμασι καὶ λόγοις ἐβεβαίουν ἡμῖν ταῦτα πολλοί · ἡ ἐνθάδε παρουσία σου δόξαν παρέσχεν ὡς ἄρα χεῖρα ὀρέξεις βοηθείας τοῖς καταπατηθεῖσι τῆς ἐκκλησίας νόμοις · σὺ δὲ ἄρα καὶ τοὺς μήπω κατεπάτησας. Ἀπόλωλεν, ὦ δίκη, τῆς ἐκκλησίας ἅπαν σεμνὸν καὶ τίμιον · ἐξέλιπεν εὐλάβεια καὶ αἰδὼς καὶ ἡ πρὸς Θεὸν ἐλπίς · ἀκήκοα λεγόντων τινῶν ὅτι κλυδωνίζεται ἡ ἐκκλησία ὑπὸ τῶν ἀντιπνεόντων ἀνέμων, ἐγὼ δέ φημι ὅτι καὶ τελείως ἐναυάγησε καὶ βεβύθισται τῇ ἀπωλείᾳ, τῇ τοῦ κλύδωνος ἐπικρατείᾳ · αἴτιοι δὲ τοῦ κακοῦ ὁ τῆς φιλαρχίας ἔρως, καὶ ὑμεῖς οἱ σοφοὶ ποιμενάρχαι, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα · παρῶπται μὲν ὁ τῆς σιμωνίας νόμος ἐπισείων τὰ δεινότατα, σκῆψις δὲ καὶ ἡ μὴ οὖσα τοῦ κρατοῦντος βία · σεσάλευται ὁ περὶ τῶν γάμων, ἄλλου προστάξαντος · ἔστω ταῦτα ἄρχοντές εἰσιν ὧσθ' ὑπεικτέον τιμῇ · εἰ δὲ τῶν ἐξ αὐτῶν εὐθηνῶν ὑμεῖς ἀθῶοι οὐκ οἶδα · ἀλλ' ἑτέρου κανόνος ὀμόσε χωροῦντος κατὰ τῶν πρὸ τῶν κε' χρόνων διακόνῳ καὶ πρὸ τῶν λα' πρεσβυτέρῳ χεῖρας ἐπιθησόντων καὶ τίμημα τὴν καθαίρεσιν ἐπάγοντος τῷ οὕτω χειροτονήσαντι σὺν τῷ χειροτονηθέντι, αὐτὸς τὸν Χριστοφόρον, μήπω τὸν εἰκοστὸν παραμείψαντα, πρεσβύτερον κεχειροτόνηκας · εἰ δὲ κατ' ἐπιταγὴν τί τοῦτο, ἢ Πασίας ἐστὶν ὁ ἐπιτάξας · καλὸν λυπῆσαι γονεῖς καὶ μὴ Κύριον · ὁ μὲν γὰρ καὶ ἔπλασε καὶ ἔσωσεν, οἱ δὲ οὓς ἠγάπησαν πολλάκις ἀπώλεσαν καὶ τῇ κολάσει παρέδωκαν.

12

## Τῷ Καλχηδόνος.

φ. 24β.

Ὁ Κύριος τοῖς αὐτῷ φοιτῶσι πυθομένοις τῷ Βαπτιστῇ, εἰ αὐτὸς ὢν ἐλήλυθεν ὁ ἐρχόμενος ἢ ἕτερος προσδοκᾶται, τὴν διὰ τῶν ἔργων ἀπένειμεν ἀπόκρισιν · οὔτ' ἐκείνου μὴ εἰδότος ὃ ἠρώτα, οὔτε τῆς ὑπερσόφου σοφίας ἁπλῶς οὕτως καὶ ἄνευ ἀποκρινομένου σκοποῦ · καὶ σοῦ δὲ φιλίως ἐρωτήσαντος ὅπως ἔχω ὡς ὁρᾷς ἀπεκρινάμην, ἴσως φανεροῦ τυγχάνοντος τοῦ ἔργου μου · ἀλλ' ὡς ἔοικε κουφότητα ἢ πλάνην μου καταγνοὺς προὔφερές μοι τὸ αὐθαίρετον, ὃ οὐδ' ἂν αὐτὸς ἀρνησαίμην, εἰ καί τισιν ἐν μέρει δόξειεν ὀνείδους ὁ ἰδιασμὸς καὶ τὸ ἀκοινώνητον καὶ τὸ ταπεινῶς βαίνειν, ἐφ' οἷς ἥκιστα ἀνιῶμαι ὡς καὶ αὐτὸς ὑπέθου, ἑνὸν ἑνὶ λόγῳ εἰς ἔργον ἐκδεδηκότι τὸ πᾶν ἀμείψαι, εἰ τοῦτ' ἦν · ἀλλ' εὐθύμως καὶ μάλα φέρω διὰ τὴν εἰσφρήσασαν τῇ ἐκκλησίᾳ τῶν θείων θεσμῶν καὶ κανόνων ἀθέτησιν, τῶν τοῖς ὀλιγωροῦσι τούτων ἐπιτιμώντων ἀσυμπαθῶς, δι' οὐδὲν ἕτερον καταδεχομένους τὰ ἀφόρητα ἐπιτίμια ἢ διὰ φιλαρχίαν καὶ τύφον καὶ τῷ ταπεινοτάτῳ ἐνθρονίζεσθαι ὕψει καὶ ὑψαύχεσιν ἐποχεῖσθαι ἵπποις καὶ τοῖς ἀνελευθέροις περιβομβεῖσθαι κόλαξι καὶ καρποῦσθαι κέρδη τὰ ἐπιζήμια, ἃ οὔτε τῶν ἐχόντων οὔτε τῶν πρὸς αὐτὰ κεχηνότων, ὥσπερ οὐδὲ τῶν κτησαμένων τὴν ἀρχὴν πεφύκασι · καὶ ῥᾷστον ἂν ἦν τὰ τῆς τοιαύτης νόσου ῥᾶον σχεῖν εἰ μόνον τὸ ἐμὸν ἔθνος καὶ οἱ ἀρχιερεῖς μὴ τοῖς τοιούτοις ἦσαν ἐνισχημένοι (;) καὶ αὐτοί, ἐφρόντιζον δὲ ὁποσονοῦν θεσμῶν ἐκκλησιαστικῶν καὶ τὰ ἐπιτίμια ἔφριττον καὶ μὴ τῷ Μαμωνᾷ μὲν ἐδούλευον, ὠλιγώρουν δὲ τοῦ Θεοῦ μητροπόλεις ἀμείβοντες καὶ προσόδους θηρώμενοι καὶ οὐδὲν ἕτερον διανοούμενοι, ὧν τέλος ἡ ἐπηρμένη δίκη τοῖς παραβάταις καὶ ἀθετηταῖς τοῦ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἐντολῶν · « ἐὰν γὰρ μὴ θέλητε, φησί, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται » · ἐξ ὧν τὴν δίκην τῆς καταστροφῆς τῆς ἐκκλησίας ὁ Κύριος εἰσπράξεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ ὅτε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ποῦ νῦν οἱ ἐγκαλοῦντες τὰς τετραγαμίας καὶ μοιχοζευξίας, τὰς μὴ οὔσας, καὶ ἑαυτοὺς τοῖς μάρτυσιν ἐντάττοντες, ὡς μέχρις αἵματος τῶν κανόνων ὑπεραθλοῦντες, ὀφείλοντες μέν, οὐ ποιοῦντες δέ, καὶ μαρτύριον ὅσα τῶν χειρόνων ἀνερυθριάστως νῦν διαπράττονται καὶ παρίημι τὰ ἄλλα. Ἀλλ' αὐτοῖς μὲν ἵλεως ὁ Κύριος γένοιτο, ἀντιλάβοιτο δὲ τῆς ἐκκλησίας αὐτοῦ τῇ οἰκείᾳ ἀγαθότητι, εἰ μὴ παντελῶς ἐκτρίψαι βούλοιτο ταύτην διὰ τὸ ἀνεπίστροφον ἡμῶν. Σοὶ δὲ χάρις, ἀδελφῶν ποθεινότατε, εὔνως ἡμῖν ἀεὶ διακειμένῳ.

13

## Τῷ μεγάλῳ Σακελλαρίῳ.

φ. 25α.

Ἀπόλωλεν, ὦ μέγα Σακελλάριε, παρ' ὑμῖν τοῖς ἄρχουσι τῆς ἐκκλησίας τὸ κύριον καὶ ἐξαίρετον τῆς κλήσεως ταύτης, μᾶλλον δὲ ἀντέστραπται καὶ φιλόδουλοι καὶ φιλοδέσποτοι ἀντ' ἀρχόντων καὶ ἐλευθέρων γεγόνατε · τὰ ἐν οἷς τὸ ἄρχειν ὅσιόν τε καὶ ψυχωφελὲς καὶ ὧν κρεῖττον κατέστητε κριταὶ θείῳ θεσπίσματι καὶ δεφένστορες εἶναι, ταῦτα προδεδωκότες — οὐκ ἔχω δ' εἰπεῖν εἴτε ὡς Ἡσαῦ φαγεῖν χάριν, εἴτε τῳ τρόπῳ ἑτέρῳ — ὧν τὰ ἐπιτίμια σφοδρὰ καὶ ψυχώλεθρα, ἅπερ καὶ αὐτὸς οὐκ ἀγνοεῖς χρόνῳ τε καὶ συνέσει καὶ

πείρα τῶν ἄλλων προέχων καὶ ἡγεῖσθαι δίκαιον ἔχων, ἢ μὴ πειθομένων ἀφίστασθαι τῶν τὸ ἀκοινώνητον παρὰ τῶν ἱερῶν θεσπισμάτων κληρωσαμένων· εἰ δέ τινες τὰ ἀνόσια κέρδη θαυμάζοντες ἢ τὸ δοκεῖν φοβεροὶ καὶ τὴν δουλικὴν ταύτην ἀρχὴν ἀγαπῶντες ταῖς θωπείαις ταύταις καὶ δουλείαις ἀγαπῶσιν, ἀλλ' οὐκ ἔδει σε τοῖς τοιούτοις ἐνασμενίζειν, μήτε περιουσίας μήτε μείζονος τιμῆς ἐπιδεᾶ τυγχάνοντα· εἰ δὲ καὶ ἄνευ τοῦ κερδαίνειν ἐφέπη τοῖς τοιούτοις ὑπερβαῖνον τὸ λῆμμα, πόσον τὸ δεινὸν καὶ ἡ δίκη ποσαπλῆ! Οὐ γὰρ οἶμαι ἐκ τῆς τοῦ Ρεπανᾶ τετραγαμίας νοσφίσασθαί σέ τι, ἧς πολλάκις σου ἀκήκοα καταγινώσκοντος, ὡς ἄλλων συνιστάντων αὐτὴν καὶ ψυχροῖς ῥήμασι καὶ διεστραμμέναις ἑρμηνείαις ἀθωούντων τοῦ λαβεῖν χάριν, εἰ καὶ ἄλλοις ἦσαν βαρεῖς ἐπιτιμηταὶ ἀγνοῶσι καὶ ἀνωτέροις τοῦ λήμματος. Τί γὰρ εἰ τὸν ἀγνοοῦντα προσποιοῦνται νῦν συλᾶν τὸ ἀκατάγνωστον πειρώμενοι· καλά γε ταῦτα, ὦ τοῦ Θεοῦ ἄνθρωπε, πρῶτε καὶ τῆς τιμῆς καὶ τῷ χρόνῳ καὶ τῇ τῶν θεσμῶν εἰδήσει τῶν ἐκκλησιαστικῶν, καὶ διδάσκαλος ὀφείλων εἶναι ἐν τῇ ἐκκλησίᾳ; Ἡμεῖς μὲν ἴσως ἀπειπάμεθα ἤδη ταῦτα καὶ ἀπόχρη μένουσιν ἡμῖν ἐπὶ τῆς τάξεως ἐφ' ἧς ἡμᾶς ἔταξεν ὁ Θεὸς περὶ σφῶν αὐτῶν μεριμνᾶν· οὐ δίκαιον δὲ σὲ τὸν κορυφαῖον τοῦ πληρώματος τῆς Ἐκκλησίας τοῖς τοιούτοις τῶν ἀθέσμων κοινωνεῖν· ἢ δοκεῖ σοι τὰ τῶν θείων πατέρων ἐπιτίμια μὴ ἐνεργεῖν ἐπὶ τοὺς παρόπτας αὐτῶν; οὐ γὰρ τεθνήκασιν ἐκεῖνοι, εἴπερ τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλει δι' ἐκείνων καὶ ἀεὶ ζῇ ὡς Θεὸς καὶ τοὺς ἀθετητὰς τῶν αὐτοῦ ῥημάτων ἐπεξελεύσεται· ἐπεὶ κἀκεῖνοι εἰς τὸν αἰῶνα ζῶσι καὶ συνεργάζονται τὴν ἐπεξέλευσιν· εἰ γὰρ ἠκυρώσαμεν τὰς τῆς σιμωνίας δίκας, εἰ παρορῶμεν τὰς περὶ γάμων παρατηρήσεις, καὶ ταῦτα μὴ οὔσης βίας ἢ τινῶν ἐστι σκῆψις, εἰ τοὺς ἐπὶ ταῖς χειροτονίαις θεσμοὺς ἠθετήκαμεν ἡμεῖς, ἀλλ' οὐ τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἡ τοῦ Θεοῦ ῥομφαία εἰ καὶ ἀναβάλλεται, στιλβοῦται ὅμως· τί γάρ φησιν ὁ Θεός; « ἐὰν μὴ εἰσακούσητέ μου τοῦ πορεύεσθαι ἐν τοῖς νόμοις μου, δώσω τὸν οἶκον τοῦτον ὥσπερ Σηλὼμ καὶ τὴν πόλιν ταύτην δώσω εἰς κατάραν ἐν πᾶσι τοῖς ἔθνεσι »· καὶ οὐκ εἶπε μὲν οὕτως, οὐκ ἐποίησε δέ, ὡς ἐγὼ δέδοικα, μὴ καὶ χεῖρον ἡμῶν καθάψηται ἔτι· ὡς καὶ τούτου γενομένου οὐδαμῶς δὲ ἀπωναμένων, ἀλλὰ καὶ ἐπὶ τὸ χεῖρον προκεκοφότων ἡμῶν « καὶ ἵνα τί ἔτι πληγῆτε, φησί, προστιθέντες ἀνομίαν »; ὑπόλοιπος τοίνυν ἡμῖν ἡ παντελὴς ἀπώλεια. Ταῦτα μὲν οἶδας αὐτὸς μᾶλλον ἢ ἡμεῖς· τῷ δὲ περὶ τὴν σὴν τιμιότητα φίλτρῳ ὑπεμνήσαμεν μικρά, ἵν' αὐτὸς οἴκοθεν τὰ πλείω προσθῇς.

Μὴ θαυμάσῃς δὲ πρός τινων ἀκούων, ὡς ἡμεῖς ᾐτησάμεθα τὴν Ἡράκλειαν τὴν κοινωνίαν ἐπαγγειλάμενοι· οὐ γὰρ διὰ τούτου τοὺς ἐχέφρονας παρακρούονται.

14

## Τῷ μεγάλῳ Ἐκκλησιάρχῃ.

φ. 25β.

Δυοῖν ἐγκλημάτων θατέρου σοι γραφὴν ἐποίσειν ἐχόντων ἡμῶν, ἔξεστί σοι τὸ κουφότερον δοκοῦν ἑλομένῳ λέγειν, οὐδέτερόν σοι προσήκειν ἀξιούντων ἡμῶν, ἀναγκαίως δ' ἑπομένων ἔργοις τε καὶ λόγοις τοῖς σοῖς· αἱρήσειν γὰρ ἡγησάμενος ἡμᾶς τοῖς ἡμετέροις ὃ δὴ λέγεται πτεροῖς λέληθας σαυτὸν μηδ' ἄκρῳ κρατήσας τῷ ὄνυχι· καὶ ἡ ἐπίνοια διήμαρτέ σοι ἐνδεικνυμένῳ τὰ ἡμέτερα ἃ Ἰγνατίῳ τῷ μακαρίῳ γεγράφαται γράμματα καὶ ὅτι ἔξεστι τῇ ἐκκλησίᾳ νόμους καὶ κανόνας οἰκονομικῶς μεταμείβειν ἐκ τούτων κατασκευάζοντι· ἢ γὰρ οὐ ξυνῆκας τῶν γεγραμμένων τὸν νοῦν, ὅπερ ἀγροικίας καὶ ἀμαθίας ἐστίν, ἢ συκοφαντεῖς, ὃ πρὸς ἐχθροῦ τῆς ἀληθείας τυγχάνει· Ἡ μὲν γὰρ Ἐκκλησία τῇ ἀντιφάσει οὐκ ἄν ποτε ἐνασμενίσειε διαπρυσίως βοῶσα· « τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων καὶ ἁγίων πατέρων οἳ καὶ τὴν ἁγίαν ἐκκλησίαν ὑπερείδουσι καὶ τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ποδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα »· καὶ αὖθις· « ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν ὑποτύπωσιν ἢ διδασκαλίαν καὶ παράδοσιν τῶν ἁγίων πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ πραχθησόμενα, ἀνάθεμα ». Ἡμεῖς δὲ οὐ κατασκάπτειν καὶ ἀνατρέπειν τὰ τείχη καὶ ὀχυρώματα τῆς ἐκκλησίας, τοὺς ἱεροὺς κανόνας καὶ τὰς ὑποτυπώσεις τῶν θείων πατέρων ἐν ἐκείνοις ἀξιοῦμεν τοῖς γράμμασιν, ὃ νῦν ἐστιν ὁρᾶν γινόμενον εἰ μή που τῶν γραμμάτων ἐκείνων ἐξεῖλες ἢ ἑκὼν παρατρέχεις τὸ « οἰκονομοῦσαν καὶ μηχανωμένην τὸ ἀζήμιον τῶν ὑπ' αὐτὴν ψυχῶν καὶ τῆς πίστεως· ἀπαθῶς γέ τοι σὺν ἀξιαδλήτοις ταῖς ψήφοις καὶ παρατηρήσεσι ταῖς προσηκούσαις ὃ καὶ ἄλλῳ τινὶ τῶν ἱερῶν ἀνδρῶν εἴρηται πρότερον, οἰκονομητέον εἰπόντι ἔνθα μὴ παρανομητέον· καὶ εἴ τις τῶν δοκούντων τοῖς ἱεροῖς πατράσι σαλεύει τι, οὐκέτι τοῦτο οἰκονομίαν κλητέον, ἀλλὰ παράβασιν καὶ προδοσίαν δόγματος καὶ περὶ τὸ θεῖον ἀσέβειαν. » Καὶ εἰκότως· οὐ γὰρ ἦσαν, φησίν, αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ Θεοῦ· τὸ δὲ ἀντινομοθετεῖν λέγοντες οὐ τἀναντία ἐξεῖναι φαμὲν τῇ Ἐκκλησίᾳ θεῖναι, ἀλλὰ τὸ ἐξ ἴσου νομοθετεῖν ἐφ' οἷς οὐκ ἔφθασαν οἱ πρότερον, κατὰ τὸ ἀντιταλαντεύειν καὶ ἀντισταθμίζειν καὶ μεταίρειν ὅρια ἐφ' οἷς ἐνδεῖ τινος ἢ ἄλλως πως οἰκονομίας δεομένοις τοῦ καιροῦ τὴν ἀναπλήρωσιν εἰσπράττοντος, εὐαγέσι τε τρόποις καὶ προσφόροις ἐκκλησίᾳ Θεοῦ· καὶ παρίημι νῦν τοὺς τρόπους ἐλέγχειν τῶν καθ' ἡμᾶς οἰκονομιῶν οὐκ ἀφανεῖς ὄντας. Ὁ δὲ γε θεσπέσιος Γεννάδιος παρανοίγειν τὸν θριγγὸν τῆς ἐκκλησίας καὶ ἐπὶ νομὰς ἐξάγειν τὰ λογικὰ θρέμματα ζωτικάς, ἀσινῶν τηρουμένων καὶ τῶν ψυχῶν καὶ τῆς πίστεως αὐτῶν ἀξιῶν, οὔτε αὐτὸς ἐμπαθῶς καὶ σκολιαῖς ταῖς ψήφοις ἔλεγε τοῦτο, οὔτε ἡμεῖς ὑπερασπίζοντες τούτου· καὶ ἃ ἐν ἐκείνοις εἰρήκαμεν τοῖς γράμμασιν ὑπὲρ τῶν ἐκείνου τὸν τοιοῦτον εἴρηται τρόπον, οὔτε δ' ὑμῖν ἐκεῖνα συνεδόκει τότε, ἄλλων παθῶν ἡγουμένων, οὔτ' ἐκεῖνος συνέστη τῇ ἰδίᾳ γνώμῃ, οὔθ' ἡμεῖς ἐπεκδικεῖν πλέον προήχθημεν, οὔθ' ἡ ἐκκλησία προσεδέξατο· νῦν δ' ἕτερα πάθη τοῦ καιροῦ σχεδιάσαντος ἐν ἡμῖν τοῖς ἡγουμένοις τῆς ἐκκλησίας, οὐ παρανοίγειν ἀξιοῦμεν τὸν θριγγὸν μετὰ τῆς τῶν ὑποτυπώσεων παρατηρήσεως καὶ τοῦ ἀπαθοῦς, ἀλλὰ τὰς μεγάλας ἀναπεταννύειν

κλισιάδας, μᾶλλον δὲ ὅλως τὸν φραγμὸν περιαιρεῖν, ἐφ' ᾧ καὶ τὰς ψυχὰς βλάπτεσθαι πολλῶν, νεκρουμένης καὶ τῆς πίστεως ἐν αὐτοῖς τῇ ἐνδείᾳ τῶν ἔργων τῶν εὐσεβῶν. Βούλει δ' ὅμως τοῖς ἡμετέροις ἐνιέναι πάθεσι τὸ ἰσχυρόν, ἃ εἰρήκαμεν ἡμεῖς ἑνὸς ἕνεκα μερικοῦ καὶ μικροῦ, εἰς τὰ πάντα καὶ καθόλου καὶ μεγάλα μετάγων συνερίθῳ τῇ συκοφαντίᾳ ἢ παρεξηγήσει χρώμενος · καὶ δὴ μὴ ἀπαξιώσῃς ἀποκρίνασθαι ἐρωμένῳ μοι τουτί · αὐτὸς μὲν ἐμβριθῶς ἄγαν καὶ ἰταμῶς παρανόμων ἡμῶν ἐγράφου τὸ πρότερον καὶ οὔτε τῇ ἀπάτῃ καὶ ἀγνοίᾳ χώραν παρεῖχες, οὔτε τοῖς προστάταις τὸ πρᾶγμα ἡμῶν ἀναφερόντων ἀνέφερες, ἀλλὰ καὶ ἔγγραφον παράγων νόμον τεμάχιον οὐκ οἶδα πόθεν λαβών, τὸ ἀσύγγνωστον ἐψηφίζου · νῦν δ' οὐ τῶν ὧν ἡμᾶς ἠτιῶ γινομένων, ἀλλ' ἁπλῶς πάντων νομίμων τε καὶ κανονικῶν διεφθορότων, καὶ τῶν μὲν ἐνεργείαις, τῶν δὲ συμβουλαῖς ἢ προδοσίαις ἢ οἰκονομίαις ἢ διοικήσεσι ταῖς σαῖς τελειουμένων καὶ διὰ τὸ ἀπεμφαῖνον αὐτῶν αὐτοῦ σοῦ μεταβαλόντος κἀκ τῶν ἡμετέρων ὧν ἐγράφου παρανόμων τὸ εὔλογον αὐτοῖς χαριζομένου, ποτέρῳ τῶν καιρῶν πολιτεύεσθαι καλῶς, καὶ δικαίως φήσομεν ἐν χρηστότητι τρόπων καὶ ἤθους ἡμερότητι καὶ ὧν ἡμῖν ὤφειλες χαρίτων ἐκτίσει · εἰ μέν γε νῦν, ὅτε καὶ ὁ χρόνος καὶ ἡ τῶν πραγμάτων πεῖρα προκόπτειν ἐν τοῖς ἀγαθοῖς τὸν ἀγαθὸν καὶ θεῖον ἄνδρα ποιεῖ, κακῶς ἄρα τότε καὶ διενοοῦ καὶ ἔπραττες καὶ ἔλεγες καθ' ἡμῶν · εἰ δὲ ταῦτα τότε ὡς προσῆκον ἐποίεις, νῦν ἄρα προκέκοφας ἐν τοῖς χειρίστοις, ὃ πρὸς ἀνδρὸς οὐκ ἂν εἴη ποτ' ἀγαθοῦ ἢ πῶς ἂν εἴποιμι μετριώτερον · Ἀλλὰ σοὶ μὲν ἵλεως ὁ Κύριος γένοιτο ἅμα δὲ καὶ ἡμῖν, εἰρήνην δὲ καὶ τῇ Ἐκκλησίᾳ παράσχοι δωρεᾷ τε καὶ χάριτι, ὡς οἶδεν αὐτός.

## 15

## Τῷ αὐτῷ.

φ. $26^{β}$.

Ὤδινε τὸ ὄρος καὶ ἔτεκε μῦν ἡ παροιμία φησί · τὸ δὲ κύημα τοῦ ὄρους τούτου τῆς σῆς ὑπερηφανίας χρόνιον ἀποτεχθὲν τῷ τεκόντι σύμμορφον ἀτεχνῶς τῷ τε ποικίλῳ τοῦ ἤθους καὶ τῷ τῆς γνώμης σκολιῷ, ἅ σοι πρὸς τρόπους πεφύκασι · καὶ ὄγκου μὲν ἕνεκα ὑπερῆρται καὶ ἐλέφαντος, ἰσχύος δὲ καὶ ἐλπίδος ἥττηται τῇ περιβομβήσει μόνῃ τὰς ἀκοὰς ἀποκναῖον, μηδένα δὲ πείθειν ἔχον, εἰ μή πού τίς ἐστι κατὰ σέ · τίς γὰρ οὐκ οἶδε τὰ σά; ἀλλὰ καὶ πτερῶν ἐνδεῖ τούτῳ πρὸς πτῆσιν, ποδῶν δ' ἀπορεῖ πρὸς πορείαν ἐφ' ᾧ πρὸς ἡμᾶς ἀφίξεται, καὶ οὐδ' ἑρπύσαι ἰσχύει · ἄλλως δ' ἐναγὲς ὂν καὶ ἐτώσιον ἄχθος οὐδὲ φοράδην ἔχει ἐλθεῖν πάντων ἀποσειομένων τὴν ἐκ τοῦ θίγειν αὐτοῦ προστροπήν · καὶ ὑποσχέσεως μὲν ἕνεκα ἐπιστολή, ἔργου δὲ φλυαρία, ἧς τὸ ἐπιτίμιον παρὰ τῶν νόμων τῷ καὶ δευτέρῳ τινὶ γνωρίσαντι ταύτην ἡ τῆς κεφαλῆς ζημία · καὶ ταῦτα ἀγνοουμένου τοῦ συντεθεικότος τὴν ἀρχήν · οὐχ ἥκιστα δὲ καὶ βαρυτέρῳ τῷ τιμήματι ὑπόχρεων σαυτὸν εἰργάσω ὡς πρὸ τοῦ ἐπιστεῖλαι τῷ ᾧ γέγραπται, ὅ νόμος ἐστὶν ἐπιστολῆς, πολλοῖς ἑτέροις ἐπιδεικνύμενος ταύτην λοίδορον οὖσαν, ὃ φλυαρίας ἐστιν, πρὸς σοῦ συντεθῆσθαι καθωμολόγεις. Ἔδει δὲ πάντως καὶ αὐτὸν σε θέσθαι καὶ ἀμφοῖν ταῖν αἰτίαιν ὧν ἡμεῖς μέν σοι τὴν ἑτέραν εἰς αἵρεσιν προὐτείναμεν, αὐτὸς δὲ σαυτῷ καὶ ἄμφω κεκύρωκας · καὶ πρώην μὲν ἀγροικίας ἑάλω σαφῶς — οὐ γὰρ ἔχεις ἀντερεῖν — νῦν δὲ κέχρησαι τῇ συκοφαντίᾳ, μᾶλλον δὲ ὑβρίζεις δήπου τὸ πρὸς τῶν οἰκείων ταῖς ὕβρεσι ποιῶν, οἵ τῶν σφῶν αὐτῶν αἶσχος ἐπηλυγάζειν ἡγοῦνται, εἰ καὶ ἄλλοις μὴ τοιούτοις τοῦτο περιάψαιεν · ἂν δὲ καὶ πλείω τὴν ἑωλοκρασίαν ταύτην καὶ ἀδολεσχίαν καταχέῃς ἡμῶν οὐκ ἀφικνεῖται · εἰς σαυτὸν γὰρ ἐπανακάμπτει μειζόνων τε καὶ πλειόνων ὑπόδικον ὄντα ὧν ἡμῖν καταψεύδῃ · καὶ ἀριδήλως ἐφάνη τοῦτο καὶ κεκύρωται ἐπὶ συνόδου ἀψευδοῦς ἢ καὶ ὡς ἐνῆν ἐπιτετίμηκέ σοι · ἐπὶ τοῖς ἀξίοις οὐκ ἐξῆν · εἰ καὶ αὐτὸς ὕστερον δραξάμενος καιροῦ κατωρχήσω τοῦ τιμήματος — καθαίρεσις δὲ ἦν — μήτε συνόδῳ μήτε ἐκκλησιαστικῇ δικαίᾳ διακρίσει θαρρήσας τῶν αἰτιῶν ἑαυτὸν ἀπολῦσαι, περιόδοις δὲ καὶ μηχαναῖς καὶ ἀπάταις ἀποσυλήσας τὴν ἀθώωσιν μὴ οὖσαν κυρίως καὶ ἁρπαγῆς νῦν ἀντέχῃ τοῦ ὀθνείου, ὃ μόνης τῆς σῆς ἐστι τόλμης, αὐτὸς δ' ὑπὸ Θεῷ συνεργῷ καὶ τῇ ἀληθείᾳ καὶ τότε κανονικῶς καὶ μάλα εὐγενῶς περιεγεγόνειν ὧν συκοφαντῶν ἐδίωκες αὐτὸς καὶ ἀεὶ πᾶν συμμαρτυρεῖ μοι στόμα · πλὴν εἴπερ ἐστιν ἕτερον ἐς δεῦρο κατὰ τὸ σόν, ἐφ' ᾧ καὶ ἧττόν μοι μέλει καὶ μελήσει σοῦ τε καὶ τῶν σῶν, εἰ καὶ πολλάκις τοιαῦτ' ἐρεῖς ἃ σαυτῷ μᾶλλον τὴν αἰσχύνην φέρει οὐμενοῦν ἐμοί. Ἄχθομαι δὲ ἐπιεικῶς ἠπηγμένος ἃ μὴ φίλα μοι λέγειν · ἑρμηνεῦσαι γὰρ τὰ καλῶς εἰρημένα μοι προστησάμενος, ἃ μετέστρεφες ἀπεικότως αὐτός, ᾧ πέφυκας φιλολοιδόρῳ εἰς ὃ μὴ πέφυκα αὐτὸς ἐξετράπην, μετὰ τῶν ἄλλων καὶ τοῦτ' ἀδικηθεὶς ὑπὸ σοῦ, τῷ τοι καὶ πεφειδημένως πάνυ τῶν τοιούτων λόγων ἡψάμην · διὸ καὶ ἅλις μὲν ἐμοὶ ὡς ἐγὼ κρίνω · σὺ δὲ εἰ μὴ βούλει τοῦτο, αὐτὸς ὄψει.

## 16

## Ἰγνατίῳ μοναχῷ τῷ Εὐφημιανῷ.

φ. $27^{α}$.

Τίμιε πάτερ · ἔναγχος ἐξ ὕπνου μοι γενομένῳ πόρρω νυκτῶν, ἄλλα τε πολλὰ τὸν λογισμὸν ἐκύκα, οἷα δὴ τὰ πολλὰ φιλεῖ συμβαίνειν πολλοῖς, οὐχ ἥκιστα δὲ καὶ τὸ τοῦ ἐκ Θετταλίας Στρογγυλοῦ ὅπως ἐπέσκωψεν ἐν καιρῷ εἰς ἄνδρα θαυμάσιον Γεννάδιον τὸν πάνυ. Μέμνησαι γὰρ δήπου παραινοῦντος αὐτοῦ ἐπὶ τοῦ παναγιωτάτου πατριάρχου, οὕτω ῥαδίως τὴν τῶν νόμων προΐεσθαι ἀκρίβειαν κατ' ἐκεῖνον, καὶ καταγελων οὔ τι μικρὸν κινοῦντος, ἐῴκει δὲ καὶ τι πλέον εἰπεῖν βουλόμενος, εἰ μὴ ἡ σὴ τιμιότης τοῦτον τῶν

πρόσω χωρεῖν ἀπεῖρξε νεύμασί τε καὶ λόγοις τισί· καὶ χάρις γέ σοι πολλὴ τὸ ἡμῶν ἀποτίσαντι ὄφλημα ὀφειλόντων τοῦτο πρὸ παντὸς ἑτέρου. Ζητῶν τοίνυν ὅτου χάριν οὕτως ἐμνήσθη τοῦ θείου τούτου ἀνδρὸς τὴν δεινὴν ἐνενόησα νόσον τῆς κολακείας αὐτὸν κινῆσαι, συλλήπτορα ταύτην ἡγησάμενον ἔσεσθαι οἱ τοῦ ζητουμένου· οὐκ ἤσθετο δ' ὅτι πονηρῷ χρῆται συνεργῷ καὶ ὡς ἐπὶ τοιούτῳ καταλύσει καταλύματι[1]· εἶτα δεύτερον ἐπῆλθέ μοι ζητεῖν εἰ ὁ μακάριος ἐκεῖνος ἑάλω ποτὲ τῆς τῶν νόμων ἀκριβείας παραλόγως τι καθυφεὶς ὥστ' ἔχειν αὐτῷ περὶ τούτου τινὰ μέμφεσθαι. Εἰ μὲν οὖν ἐν τοῖς πάλαι χρόνοις τοιούτου τινος γέγραπται οὐκ ἔχω λέγειν, τοὐναντίον δ' ἅπαν σύνοιδα πᾶσιν, ὅτε τὰς ἑτέρων δίκας ἐτέτακτο διευθύνειν, τῆς τοιαύτης ἀκριβείας ἀσφαλῶς αὐτὸν ἀντεχόμενον. Εἴη δ' ἂν ἔφην περὶ ὧν χθὲς καὶ πρότριτα βεβούληται ὁ Θετταλὸς τῇ συνόδῳ κοινώσασθαι, περί τε ἐν τοῖς γάμοις διακρίσεως καὶ τινων ἐπιτετιμημένων. Εἰ οὖν οὕτως ἔχει, τὸ μὲν ἀπεμφαῖνον τοῦ καιροῦ καὶ τοῦ τόπου καὶ τῶν παρόντων ἐκεῖσε μάλιστα διελέγχειν μικρόν.

Οὐδὲ γὰρ τῆς τοῦ Στρογγυλοῦ προπετείας ἡμῖν καθικέσθαι σκοπός, τοῦ δὲ ἀμώμου φροντίσαι ἀνδρὸς ἐκείνου χρέος ἐκτίνουσιν ἀναγκαῖον καὶ τῆς ἀληθείας ἐπαμύνειν προὔργου τιθεμένοις καὶ τῷ μακαριωτάτῳ πατριάρχῃ καὶ τῇ σῇ τιμιότητι χαριουμένοις, οἷς κολακείας μὲν οὐ μέλει, εὐνοίας δὲ τῆς πρὸς ἐκεῖνον καὶ μάλα, εἰ καί τινες τὴν ἐναντίαν εἵλοντο. Τί τοίνυν ἕτερον τοῖς νόμοις τῆς ἐκκλησίας ἀπᾶδον εἶχεν ἐκεῖνος θεῖναι, ὅς γε τοσοῦτον ἀπεῖχε νομοθετεῖν, ὅτι καὶ ἐπεὶ συμβουλεύσειν ἀπηξίωτο οὐκ ἠχθέσθη· τοῦτο δεινὸν ὅτι τὴν ἐκκλησίαν ἠξίου χρήσασθαι τῇ ἑαυτῆς δυνάμει εἰς σωτηρίαν πολλῶν ψυχῶν; ὃ καὶ προὔργου ποιεῖν ἀεὶ χρὴ καὶ μηδεμιᾶς ὀλιγωρεῖν ὑπεραιρούσης παντὸς τοῦ κόσμου· οὓς δ' ὑποθράττει τὸ «μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου», ἴστωσαν ὡς οὐ περὶ γάμων εἴρηται τοῦτο, περὶ δὲ γε τῶν ἄρθρων τῆς πίστεως· τριγαμίας δὲ καὶ τετραγαμίας πέρι, οὔθ' ὁ Κύριος οὔθ' οἱ τούτῳ φοιτήσαντες τι παρέδωκαν, ἀλλ' ὁ παλαιὸς νόμος διὰ τὴν τῶν ἀνθρώπων φησὶ σκληροκαρδίαν ἐπιτρέπει τοῖς συζυγεῖσι τὴν διάζευξιν, πορνείας ἀναφανείσης μόνης· ὁ δέ γε καινὸς τοῦ εὐαγγελίου καὶ λίαν ἐμβριθῶς μὴ χωριζέτω φησιν ἄνθρωπος τοὺς συζυγέντας ὑπὸ Θεοῦ καὶ μοιχᾶσθαι διορίζεται τὸν τὴν ἀπολυθεῖσαν γεγαμηκότα· καὶ ὁ ἀπόστολος τὰς νεωτέρας χήρας δι' ἃς αὐτός φησιν αἰτίας προτρέπει καὶ εἰς δεύτερον γάμον ἐλθεῖν. Εἰ μὲν οὖν οὐκ ἐξῆν τῇ ἐκκλησίᾳ τὰ τῶν πατέρων μεταίρειν ὅρια, τούτοις μᾶλλον ἔδει φυλάξαι τὴν τιμὴν πατράσιν οὖσι πατέρων· ὅτι δὲ μᾶλλον ἐκ τούτων προυτέτραπτο δεόντως τὰ περὶ τῶν τοιούτων ἐν καιρῷ μεταίρειν, ἔδειξεν ὅτι τὰ τούτων πρῶτον ἐκίνησεν, ἡγησαμένου Βασιλείου καὶ τίνων ἑτέρων κατὰ καιρούς, διαφόρων μὲν τυχὸν ἀρετῇ καὶ σοφίᾳ, πάντων δὲ ὁμοίων τῇ ἐκκλησιαστικῇ δυνάμει καὶ ἐξουσίᾳ, οὐ τῶν ἐν τοῖς πάλαι χρόνοις ὄντων μόνον, ἀλλὰ καὶ τῶν ἐς δεῦρο τῆς ἐκκλησίας ἡγουμένων· οὐδὲ γὰρ τὰ τοῦ Βασιλείου ἴσχυεν ἂν ὡς Βασιλείου ἢ ἄλλου του ὡσαύτως εἰ μὴ καὶ τῇ ἐκκλησίᾳ συνεδόκει. Ὃ δὲ καὶ ἐν μέρει τίθημι ὑπερβολῆς, οἱ βασιλεῖς μικροῦ τινος συμφέροντος αὐτοῖς χάριν, ὄντες ἄνθρωποι, παρὰ τὴν τοῦ Θεοῦ ψῆφον χωρίζουσιν οὓς αὐτὸς συνέζευξε τὸ τῆς καθοσιώσεως συστέλλοντες· πῶς οὖν εὐσεβέστατοι καὶ πιστοὶ ἐν Χριστῷ τῷ Θεῷ, ἢ πῶς οἱ παρ' αὐτῶν τεθέντες νόμοι θεῖοι καὶ φιλευσεβεῖς, ἢ πῶς αὐτοὺς ἡ ἐκκλησία ἐδέξατο. Τίς οὖν ἀντερεῖ μὴ τὴν ἐκκλησίαν ἀπολελυμένην ἔχειν δύναμιν, καιροῦ καὶ πραγμάτων καὶ λόγων εὐλόγων καταναγκαζόντων, οὐχ ἥκιστα δὲ καὶ ἐν οἷς ψυχαὶ καὶ πίστις κινδυνεύουσι νομοθετεῖν καὶ ἀντινομοθετεῖν καὶ μεταίρειν ὅρια πρότερα οἰκονομοῦσαν καὶ μηχανωμένην τὸ ἀζήμιον τῶν ὑπ' αὐτὴν ψυχῶν καὶ τῆς πίστεως, ἀπαθῶς μέντοι σὺν ἀδιαβλήτοις ταῖς ψήφοις καὶ παρατηρήσεσι ταῖς προσηκούσαις· ἐγὼ δὲ μᾶλλον, εἴτις τῆς καθολικῆς ἐκκλησίας ἐξάρχων μὴ οὕτω καὶ ἐπὶ τούτοις αὐτὴν κινῶν, παρορᾷ δὲ μᾶλλον ἀπόλλυσθαι ψυχικῶς οὓς ἐπιστεύθη διασώζειν, ὡς δῆθεν τοῖς τῶν προτέρων θεσπίσμασιν ἐμμένων, εὐτόνως ἂν διατειναίμην· παραδείγματι δὲ γυμναστέον τὸν λόγον ἡμῖν δοκεῖ. Δεσπότης ἐμὸς ἐγχειρίσας μοι προβάτων νομὴν ἀπῆρεν ἐντειλάμενος ἐξάγειν ταῦτ' ἐπὶ νομὰς διὰ τῆς βορείου θύρας τοῦ θριγγοῦ, ὡς ἐνεδρευόντων ἄλλοθεν θηρίων· εἰ δὲ κἀνταῦθα τὰ θηρία παραγένοιντο καὶ κινδυνεύει παραπόλλυσθαι τὰ θρέμματα ἢ λιμῷ τῷ μὴ ἐξιέναι τῷ δέει τῶν θηρίων ἢ καταβρώσει τῶν ἐνεδρευόντων τῇ τούτων προόδῳ, ἐξεῖναι παρανοίγειν τὸν θριγγὸν ἑκατέρωθεν καὶ διασώζειν τὰ θρέμματα πρὸς τὸ καὶ πιαίνειν αὐτὰ δαψιλείᾳ τῆς νομῆς· ἐγὼ δὲ τὴν ἐπ' αὐτῶν φορὰν μόνον συγκομιζόμενος οὔτε εἰ καλῶς νέμοιντο ἢ κακῶς ἐσκεψάμην οὔθ' ὅπως ἀνώτερα τῆς ἀπὸ τῶν θηρίων λύμης εἶναι διὰ σπουδῆς ἐθέμην μίαν τοῦ θριγγοῦ θύραν ἔχειν πρὸς τοῦ δεσπότου σκηπτόμενος καὶ μὴ ἐξεῖναι παρανοίγειν ἑτέρωθεν τὸν θριγγόν, οὐ δώσω δίκας τῆς ἀπωλείας τῶν θρεμμάτων ἐλθόντος τοῦ δεσπότου καὶ τοὺς λόγους εἰσπράττοντος; καὶ τυφλῷ, κατὰ τὴν παροιμίαν, δῆλον· ἢ καὶ ἀλεκτρυαίνης εἰκός ἐστιν ἡμᾶς ἡττᾶσθαι, τῷ μὲν σιτισμῷ τῶν νεοσσῶν τυχὸν καὶ ἀθρῷ μὴ ἀρκουμένης, εἰ μὴ καὶ ἐπισιτισμὸν μηχανήσαιτο, πρὸς δ' ἀετὸν καὶ κύνα καὶ γαλῆν ὑπὲρ αὐτῶν οὐκ ἀτόλμως προβαλλομένης καὶ μηδὲ τῶν ἰδίων πτερύγων φειδομένης εἰς φρουρὰν καὶ περίθαλψιν· εἰ δὲ τὴν ἐκκλησίαν πᾶσαν εἰωθυῖαν κρίνειν τὰ περὶ τούτων καὶ διακρίνειν καὶ νομοθετεῖν καὶ ἀναπτύσσειν καὶ ὁ μακάριος ἐκεῖνος ἕρμαιον τὴν συνδρομὴν τῶν τῆς ἐκκλησίας ἀναπληρούντων ἡγησάμενος καὶ ἐγκαίρως νομίσας εἰσηγήσασθαι τὰ δοκοῦντα οἱ συνήσειν τῷ κοινῷ τῆς ἐκκλησίας, οὐ νομοθέτου, ἀλλὰ συμβούλου τρόπον εἰσελθεῖν ἠβουλήθη. Ἐξωστράκισται δὲ μὴ χαλεπήνας· ἔδειξεν ἧττον αὐτῷ μέλλειν τῆς τοῦ κρύψαντος τὸ τάλαντον δίκης· τῶν γὰρ ἱερῶν ἀκούειν λογίων «εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς ἁμαρτίαν οὐκ εἶχον» λεγόντων, μάτην ἄρα ὁ μάταιος Στρογγυλὸς πρὸς αὐτὸν ἀπέσκωψεν.

---

1. «Παραγένοιτο καταλύματι» ὁ Παρισινὸς Κῶδ.

## 17

### Κυρῷ Μανουὴλ τῷ Παλαιολόγῳ.

φ. 28β.

Τὰς σὰς ἀρετὰς ἀεί μοι θαυμάζοντι ἀμφοῖν προσηκούσας σου ταῖν εὐγενίαιν, καὶ νῦν θαυμάσαι σου τὴν ἐπιείκειαν θέλησον, ἄριστε πάντων καὶ εὐγενέστατε · παραιτούμενος γὰρ — τἀληθῆ κατερῶ — ῥαθυμίας τινὸς ἔχω σου γράψασθαι νῦν τῆς ἐπισυμβάσης ἕνεκα πρὸς Δοκειανὸν τὸν χρηστὸν ἄνδρα διαφορᾶς · ἴσμεν γὰρ ἅπαντες τὸ πρὸς τρόπου σοι πρὸς πάντας εὐμενές · μάλιστα δ' αὐτῷ δωρηθὲν δαψιλῶς, καίγε τῆς ὑπολήψεως οὐ διήμαρτες τῶν τρόπων αὐτοῦ καὶ παιδείας καὶ φρονήσεως καὶ τῶν πολλῶν ἀρετῶν · τῷ δ' ἄκρῳ τῆς συνέσεως οὐδ' αὐτὸς ἀγνοεῖς τὴν ἄνευ τῆς οἴας οὖν ὑποκρίσεως εὔνοιαν αὐτοῦ, καὶ ὡς ἐμαυτὸν πείθω οὔποτ' ἂν ἐξεγένετο τούτῳ, ἀλλ' ὅτι τῶν ἁπάντων τῆς εἰς σὲ πίστεως καὶ εὐνοίας διαμείψασθαι οὐδὲ τὸν τοῦ Μίδου πάντα χρυσόν, εἰ οἷόν τε ἦν · βασκάνου δέ τινος ἐπηρεαστοῦ τοῦτο γέγονε κατόρθωμα σκολιόν · τῇ σῇ δὲ πάντως ἐπιεικείᾳ διαφέρει τὴν διαφορὰν περιελεῖν. Οὐκ ἔστι γὰρ ὅτε τῶν καλῶν οὐκ ἄρχεις αὐτός, ἀλλὰ καὶ εἰσπράττουσι τοῦτο ἥ τε τῶν εὐμενῶν καὶ ἀγαθῶν σου τρόπων ἰδιότης, ἔτι τε καὶ τῶν αὐτοῦ, οὐχ ἥκιστα δὲ καὶ τὸ τῶν ἐν τῷ παρόντι ἐπίσημον ἡμερῶν · προσθήσω δ' ὅτι καὶ ἡ ἱκετεία ἡ ἐμή · ἔγνων δὲ τὴν διαφορὰν τινὸς ἡγησαμένης χρείας. Πυθόμενος γὰρ οὐ πρὸ πολλοῦ εἶναι παρὰ τῷ Δοκειανῷ τοῦ μακαριωτάτου πατρὸς καὶ πατριάρχου Γενναδίου τοῦ πάνυ σύγγραμμα, τῶν ὑπὲρ λόγον γενεθλίων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἕνεκα, μεταστειλάμενος αὐτὸν ἐφ' ᾧ τοῦτο αἰτῆσαι τήν τε διαφορὰν ἔγνων ἐκ τούτου καὶ ὅπως εἰς τὰς σὰς ἐκεῖνο χεῖρας ἀφῖκται. Ταῦτ' ἄρα καὶ περὶ ἀμφοῖν πρεσβεύω · ἐκείνῳ μὲν τὰς διαλλαγάς, ἐμοὶ δὲ καὶ δωρηθῆναι τὸ αἴτημα, ἐπανήξειν σοι πάλιν ἐπαγγελλομένῳ.

## 18

### Ὁ Μηδείας τινὶ τῶν ἀρχιερέων.

φ. 29α.

Ἀποδέδωκας τῷ Ἀγχιάλου τὰς ἀμοιβὰς πρὸς ἀξίαν εἴτε δι' ἐκείνου εἴτε σοῦ, εἰπεῖν οὐκ ἔχω · ἢ γὰρ αὐτὸς καλῶς συνειργάσω τὸν κατ' ἐκείνου διωγμὸν κακῶς τὴν συγχωροῦσάν σοι ψῆφον δεδωκότος, ἢ καλῶς δεδρακότος τὸ τῆς ἀχαριστίας οὐκ ἂν ἀποδράσειας ἔγκλημα · σὺ δὲ σοφὸς ὢν σκέψαι σεαυτῷ πῶς ἀντιφάσκεις ὃς ὑπὲρ τῶν θεσμῶν τῆς ἐκκλησίας καὶ τῶν ἱερῶν κανόνων, ὡς ἔλεγες χθὲς καὶ πρότριτα, πάντα παθεῖν ἡροῦ · νῦν δ' ὅλας ἡνίας καθυφεὶς φέρῃ κατ' αὐτῶν οὐκ ἔχων ὅτῳ τὴν αἰτίαν εὐλόγως περιάψειας παρά γε κριταῖς ἀψευδέσιν. Ὅμηρος γὰρ ἂν εἶπε τό « πλεῖον πολυάϊκος πολέμιο χεῖρες αἱ σαὶ διέπουσι ». Τὸ γὰρ, ἐνὸν κωλύειν, ἐπιτρέπειν, συνεργεῖν λογίζεται καὶ συμπράττειν τὸ κοινωνεῖν · θεσμὸς δὲ οὐδεὶς οὐδὲ κανὼν ἐξωθεῖ τὸν ἐπίσκοπον τῆς τιμῆς καὶ τοῦ θρόνου ἄνευ λιβέλλων, ἐλέγχων καὶ κρίσεως, κἂν φήμη τις ἐγκλήματά τινα περὶ αὐτοῦ κηρύττῃ. Εἰ δὲ καὶ μηδὲν τὸ τοιοῦτον, οὐδ' ἡ τυχοῦσα πρόσκλησις ἐγεγόνει πολλῷ γε μᾶλλον. Ἄλλους μὲν οὖν τινας τὰ τοιαῦτα διαπράττεσθαι οὐδὲν ἀπεικός, ἢ ἑκοντὶ ἀγροικίζοντας ἢ οὕτω πεφυκότας · σὲ δὲ τούτοις συντάττειν ἀπαξιῶ. Ταῦτ' ἄρα καὶ πολλῇ τῇ φειδοῖ τοὺς περὶ τούτου ποιοῦμαι πρὸς σὲ λόγους · οὐ γὰρ ἐλέγχων, ἀλλ' εὔνως ἔχων σοι, ὅτι ταῖς σαῖς ἄχθομαι δυσφημίαις, τοῖς λόγοις τούτοις ἐχρησάμην · εἰ δέ μοι καὶ προὔργου τὸ ἐλέγξαι ἦν, εὐτόλμως ἂν εἰργασάμην πρὸς σοφὸν τοῦτο δρῶν πειθόμενος τῷ σοφῷ « ἔλεγχε σοφόν, φάσκοντι, καὶ ἀγαπήσει σε ». Οἶσθα δὲ τοὺς σοφοὺς ἰδιώτου κακίας εἶναι τιθεμένους τὸ πράττειν φαῦλα καὶ κολάσεως ἄξια · σοφοῦ δὲ τὸ ποιεῖν τὰ καλὰ καὶ ἐπαίνων πρόξενα · ταῖς γὰρ ἐνεργείαις τούτους χρὴ διασημαίνεσθαι ἢ πάντα χρήματα · τῇ σῇ δὲ ἀγχινοίᾳ μάλιστα προσήκει διακρῖναι καὶ τίσι δεῖ σαυτὸν ἐγκρῖναι, ἵνα καὶ πολλῶν αἰτιῶν σαυτὸν ἀπολύσῃς καὶ τοῖς φίλοις τὸ συγχαίρειν σοι τῶν ἐπαίνων παράσχῃ.

# ΤΟΥ ΜΗΔΕΙΑΣ ΘΕΟΦΑΝΟΥΣ

## Περὶ προνοίας

. . . . . . . . . . . . . . . . . . .

[παν]δεσία καὶ λύκος λέοντι θοίνη καὶ παλαμὶς ὄψον δελφίνι καὶ κολοιὸς ἀετῷ τράπεζα · ψυχῆς γὰρ οὐκ οὔσης ἀθανάτου τούτοις ἀποθνήσκοντα ταχέως ἀπόλλυνται · ψυχὴ γὰρ ζώου τὸ αἷμα αὐτοῦ, ᾧ συναπόλλυται κενωθέντι καὶ εἰς τὸ μηδὲν χωρεῖ · ὥσπερ ἀμέλει καὶ τέχνης ἡστινοσοῦν ἀποτέλεσμα εἰδοποιεῖ καὶ εἰς ὑπόστασιν ἄγει ἡ σύνθεσις τῆς ὕλης · καὶ ἔστιν ὕλη καὶ εἶδος καὶ ὑπόστασις αὐτὴ καθ' ἑαυτὴν μόνη ἡ ὕλη · ὥστ' οὐκ ἂν ποτ' εἴη σκίμπους ὁ σκίμπους διαλυθεὶς ἑκάστου τῶν μορίων αὐτοῦ εἰς τὰ οἰκεῖα παλινοστήσαντος, ὥσπερ οὐδὲ κλίνη οὐδ' ἄλλο τι τοιοῦτον · τὸ δ' αὐτὸ καὶ τοῖς ἀλόγοις τῶν ζώων ἐφαρμόττει ἃ σὰρξ μόνον καὶ ὀστέα τυγχάνοντα γεηρᾶς φύσεως παχείας τε καὶ ὑλώδους ὑπὸ τοῦ αἵματος διαθερμαινόμενα καὶ τὸ κινεῖσθαι καὶ αἰσθάνεσθαι λαμβάνοντα εἰς παντελῆ καταλύουσι φθοράν, τῆς ὕλης αὐτῶν εἰς γῆν διαλυθείσης, ἐξ ἧς συνειστήκεσαν, μηδενὸς ὑπολειπομένου ὃ εἶδος αὐτοῖς ἐχρημάτιζε · διὰ τοῦτο οὐ μέλει αὐτῶν τῷ Θεῷ. Τὸ δὲ τῶν ἀνθρώπων χρῆμα

οὐκ ἔχει κατὰ τὰ ἄλλα γένη τὰ καὶ φθαρτά · σύγκειται δὲ ὁ ἄνθρωπος ἐκ θνητοῦ, ὅ ἐστιν ἡ γηρὰ ὕλη ἡ ἐκ τῶν στοιχείων δήπου σύγκρασις, καὶ ἀθανάτου, ὅ ἐστι θείας οὐσίας ἀπορροὴ ἐκ τοῦ θείου ἐμφυσήματος εἰς νοερὰν ψυχὴν ζῶσαν λογικὴν γεγονὼς καὶ τῇ τοιαύτῃ ὕλῃ τῇ γενητῇ καὶ φθαρτῇ ὡς εἶδος ἐναποτεθέν · ὑπόστασις δὲ ἔστι τελεία καθ' ἑαυτὴν ἡ τοιαύτη ψυχὴ καὶ ἀθάνατος ὡς μέτοχος θείας φύσεως, ἥτις εἰς μίαν ὑπόστασιν συναπτομένη τῷ ἐκ τῆς ὕλης τούτῳ τῷ σώματι τῷ θνητῷ δωρεῖται αὐτῷ τὸ ζῆν, ὡς αὐτὴ πρότερον τὸ ζῆν κληρωσαμένη, οἰκουροῦσά τε ἐν αὐτῷ κινεῖ καὶ πᾶσαν αἴσθησιν δίδωσι · καὶ ἔστιν αὐτῷ τὰ πάντα ἕως ἂν οἷόν τε συνίστασθαι · τοῦ δέ γε θνητοῦ πρὸς τὸ οἰκεῖον ἐπειγομένου καὶ τῆς ὕλης εἰς τὰ ἐξ ὧν συνέστη ὑποστρεψάσης, τὸ ἐν αὐτῇ εἶδος, ἡ ψυχὴ δηλαδὴ αὕτη ἄϋλος οὖσα ὑπόστασις καὶ ἀθάνατος ἀνατρέχει καὶ αὕτη εἰς τὰ οἰκεῖα, ἔνθα τὰ ἀσώματα καὶ ἄϋλα, ὧν ὑπέρτερος ὁ Θεός, ὁ ταύτην ἐξ ἑαυτοῦ τῷ θνητῷ ἐναποθέμενος σώματι · καὶ ὥσπερ οἰκία ἡ ἐκ λίθων καὶ ξύλων καὶ χοὸς καὶ σιδήρου οἰκοδομηθεῖσα ὡς ἂν οἰκεῖτο παρὰ οἰκοδεσπότου εἴη ἂν οἰκία τῷ ὄντι, χρόνῳ δὲ τῷ πάντα γηράσκοντι ἢ ἑτέρῳ τινὶ συμπτώματι διαλυθείσης ταύτης τῶν ἐξ ὧν συνέστη εἰς τὰ οἰκεῖα καὶ συγγενῆ μεταχωρησάντων, ὁ ἐν αὐτῇ οἰκῶν πρότερον ἐπείγεται εἰς μείζονα καὶ ἀσφαλεστέραν μετοικῆσαι, ἕως ἂν ἐκείνην ἀνανεύσηται, οὕτω καὶ ἐν τῷ ἀνθρώπῳ συμβαίνει · τῶν στοιχείων ἀναλαμβανόντων ἑκάστων τὸ οἰκεῖον, τὴν θνητὴν καὶ γεηρὰν δηλαδὴ ὕλην, ἡ ψυχὴ ἡ ἄϋλος καὶ ἀθάνατος ἐπανέρχεται πρὸς τὰ ὅμοια, ἐπαναλαμβάνοντος αὐτὴν τοῦ Θεοῦ, εἶδος οὖσαν ἀθάνατον τοῦ θνητοῦ μεθ' οὗ ἔζη τὸ πρότερον, μᾶλλον δὲ ᾧ τὸ ζῆν ἐχορήγει · καὶ ἦν τὸ συναμφότερον ἐξ ὕλης καὶ εἴδους μία ὑπόστασις ἄνθρωπος · ὑπομένουσι δὲ ἀμφότερα ἥ τε ὕλη καὶ τὸ εἶδος τὴν τοιαύτην διάλυσιν, ἕως οὗ τὸ ἐκ τῆς ὕλης θνητὸν τοῦτο σῶμα ὁ παντοδύναμος ἀναστήσας ἀθανασίαν ἀμφιέσῃ καὶ σὺν τῇ ψυχῇ αὖθις τελειώσας αὐτὸ εἰς κρίσιν παραστήσῃ λόγους εἰσπραξόμενος τῶν ἐν τῷ παρόντι βίῳ κατὰ τὴν συνάφειαν εἰργασμένων αὐτῷ.

Ἀλλὰ τὰ μὲν ἐφεξῆς αὐτοῦ προϊὼν ὁ λόγος δηλώσει · ὁ δέ γε ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος συγκείμενος χειρὶ Θεοῦ πλασθεὶς περιὼν ἐν τῷδε τῷ βίῳ ὥσπερ τις ἡγεμὼν διάγει παρὰ τοῦ πλάσαντος αὐτόν τε καὶ τὰ πάντα δεσπότης καὶ ἐξουσιαστὴς τῶν λοιπῶν ἁπάντων χειροτονηθείς, τολμῶ εἰπεῖν ἄλλος Θεὸς εἶναι τῶν ἐπὶ γῆς, ὡς εἰκὼν Θεοῦ — οὗ τι ἕτερον μεῖζον καὶ τιμιώτερον ; — τὸν λόγον εἰληφὼς παρ' αὐτοῦ ἔχων, ᾧ δυνηθείη ἄν τό τε ἀγαθὸν καὶ πονηρὸν διελεῖν, καὶ προαίρεσιν αὐτεξουσίαν, ἵν' ἐπ' αὐτῷ ᾖ αἱρεῖσθαι θάτερον τοῖν δυοῖν ὅπως καὶ τῆς προσφόρου ἑκατέρῳ ἀμοιβῆς αὐτὸς ἑαυτῷ γένηται αἴτιος ἕκαστος. Ὅθεν προνοεῖ μὲν τῆς αὐτοῦ ζωῆς ὁ Θεὸς ὅπως ἂν ὡς βέλτιστος γεγονὼς καὶ τῷ μὲν λογισμῷ τὸ ὄντως ἀληθὲς ἐκζητήσας, ὅ τέλος οἰκεῖον αὐτῷ, τῇ δὲ θελήσει τὸ ἀγαθὸν εἰς τὸν τῆς εὐδαιμονίας ἀναχθῆναι τόπον τὸν πάσης ἀπηλλαγμένον θνητότητος καὶ μόχθου κοσμικοῦ, ἀποθέμενος καὶ αὐτὸς τὸ θνητόν, μόνῳ δὲ τῷ ἀθανάτῳ ζῶν · εἰ δὲ καὶ ὅ πρότερον ἦν θνητὸν ἀναλήψαιτο, ἀλλ' ἀλλοιωθὲν ἤδη καὶ ἀθανασίαν ἐνδυσάμενον, ὡς ἤδη καὶ λέλεκται, ἐφ' ᾧ καὶ τὴν σὺν αὐτῷ ζωὴν μηδὲν διαφέρειν τῆς τῷ ἀθανάτῳ μόνῳ ζωῆς πρός γε τὴν νοερὰν ἐκείνην εὐδαιμονίαν · προνοεῖ δὲ αὐτοῦ ἁπλῶς εἰπεῖν καὶ ὑπὲρ πάντα τὰ ἄλλα γεννητά, ὅτι τὸ τοῦ ἀνθρώπου ἀγαθὸν ἀσυγκρίτως ὑπέρκειται ἐκείνων καὶ δεῖ τῆς αὐτοῦ σπουδῆς μετὰ τῆς ἐκ Θεοῦ ῥοπῆς ἀνυστὸν αὐτῷ γενέσθαι, ὅτι πλείστας δυσχερείας τοῦ ἀνθρωπίνου βίου κεκτημένου καὶ ὡς πλεῖστοι μὲν ἐπιτυγχάνουσι τούτου, οἱ πλείους δὲ καὶ ἀποτυγχάνουσι δι' ἐθελοκακίαν ἀποφοιτῶντες τῶν θείων μαθημάτων, ἢ οὐδὲ θέλοντες τὴν ἀρχὴν ἀνιχνεύειν αὐτά · ἡ προαίρεσις δὲ ἑκάτερον ἐνεργεῖ · οὐδένα γὰρ βιάζεται ὁ Θεὸς ὥστε μὴ βουλόμενον λαβεῖν τὸ ἕτερον, οὐδὲ συνήνεγκεν ἂν οὐδενὶ ἡ ἐπί τι τούτων βία · ἐπεὶ διττὸς ἡτοίμασται τοῖς ἀνθρώποις τόπος, ὅ τε τῆς εὐδαιμονίας, ἵν' ᾖ κληρονομία τοῦ ἑλομένου τὸ ἀγαθόν, καὶ ὁ τῆς ἀθλιότητος, ἵν' ᾖ τοῦ τὸ πονηρόν · ἐπιγινώσκηται δὲ καὶ ὁ Θεὸς κριτής, ὥσπερ καὶ ἐστὶ δίκαιος, ἕκαστον παραπέμπων εἰς τὸν προσήκοντα τόπον κατὰ τὴν αὐτοῦ ἑκάστου ἐκλογήν · εἰ γὰρ βία ἦν, πάντες ἂν ἦσαν ἀναγκαίως καλοί, καὶ οὕτως οὔτε κριτὴς οὔτε Θεὸς παρὰ τοῖς ἀνθρώποις ἐγνωρίζετο, ἢ κακοί, καὶ πάντες ἂν ἦσαν κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες. Εἰ δέ τις τῶν ἐπιεικῶν, ὡς ὁ Δαυΐδ, εἴποι τῷ Θεῷ εὐχόμενος « κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου » καὶ « ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητας » καὶ « ὁδήγησόν με ἐν τῇ ὁδῷ σου » καὶ τὰ ὅμοια τούτοις, οὐ βιάσασθαι τὰς φύσεις τὸν Θεὸν αἰτεῖ, ἀλλ' ὡς ἑαυτὸν μὲν παρεσκευακὼς πρὸς τὰ βελτίω τῶν ἔργων καὶ ᾑρημένος πράττειν αὐτά, ὑφορώμενος δὲ τὰς τοῦ ἐχθροῦ ἐνέδρας καὶ μηχανὰς μήπως ὑποσκελισθεὶς αὐτῷ διαμάρτοι τοῦ σκοποῦ εἰς ἐπικουρίαν τὸν Θεὸν ἐπικαλεῖται καὶ ἀντιπαράταξιν τοῦ ἐχθροῦ, ὅπως τῇ αὐτοῦ ῥοπῇ τε καὶ συμμαχίᾳ διανύσειε μὲν τὴν θεοφιλῆ τρίβον, ἐν ἀξίῳ δὲ τῆς τοιαύτης ὁδοῦ καταλύσειε καταλύματι · διὸ καὶ ἐπάγει · « καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ Κύριε ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με » · ὁ γὰρ βοηθῶν τινι ἀψαμένῳ τινὸς ἐνεργείας ἑκουσίως βοηθεῖ, ἐξ οὗ καὶ ἡ παράκλησις γίνεται · τῷ δὲ μὴ βουληθέντι μηδὲ ἀψαμένῳ οὐδὲ βοηθὸς εὑρίσκεται, οὐ πρὸς τοῦ Θεοῦ δὲ προαίρεσιν καὶ βούλησίν τινος ἄκοντος ἐπὶ τὰ βελτίω βιάζεσθαι. Ἀλλὰ ταῦτα μὲν παρεκβατικώτερον εἴρηται. Ἐπὶ δὲ τὸ προκείμενον ἐπανιόντες κεφάλαιον τοῦ λόγου φαμέν, ὅτι ἕτερος μὲν ὁ τῆς παραγωγῆς τῶν τε φυτῶν καὶ τῶν ἀλόγων ζώων καὶ ὁ τῆς περὶ αὐτῶν προνοίας λόγος, καὶ ἕτερος ὁ τῶν λογικῶν, ὡς ἤδη λέλεκται, ὡς καὶ τὰ ὀνόματα αὐτῶν δηλοῖ κατὰ τὰ ἀντικείμενα καθ' ἕξιν καὶ στέρησιν προφερόμενα · πῶς οὖν οἷόν τ' ἂν εἴη ταῦτα συμβαίνειν ἐν τῷ ζῆν τε καὶ φθείρεσθαι ὡς ἔτυχεν ; οὐκ ὀρθῶς ἄρα φρονοῦσιν οἱ οὕτω δοξάζοντες.

Πρὸς δὲ γε τὸ τέταρτον τῆς ἐρωτήσεως ἔστιν εἰπεῖν οὕτως · ὁ Θεὸς τῆς κατὰ τὸ σῶμα ζωῆς τοῦ ἀνθρώπου προνοεῖ οὐ πρὸς αὐτὸ τὸ ζῆν μόνον ὡς ἐπὶ τῶν ἄλλων ζώων, ἀλλὰ καὶ ὅπως ἡ ψυχὴ αὐτῷ μὴ

κωλύηται ὑπ' αὐτοῦ πρὸς τὸ τέλος, ἀλλὰ ὁδηγεῖται· προέγνωσται δὲ τῷ Θεῷ καὶ προώρισται πάντα καὶ ἡ ζωὴ καὶ ὁ θάνατος πάντων κατὰ τοὺς ποικίλους τρόπους τῆς αὐτοῦ προνοίας καὶ τὴν ἄπειρον αὐτοῦ σοφίαν, ἵνα πάντες πρὸς τὸ ἔσχατον τέλος ἀφίκωνται, ὅ ἐστι τὸ ἁπλῶς ἄριστον ἢ τὸ κατὰ φύσιν καὶ τῆς μακαριότητος τύχωσι συναφθέντες τῷ ὄντως μακαρίῳ Θεῷ καὶ τοὺς μετόχους αὐτοῦ μακαρίους ποιοῦντι, εἰ καί τινες ζωώδη βίον ἀνύσαντες καὶ τοῖς ἀνοήτοις ὁμοιωθέντες κτήνεσιν ἀπαξιοῦνται τούτου τοῦ τέλους καὶ εἰς τὸν τῆς ἀθλιότητος παραπέμπονται τόπον, ὅς ἐστιν οἰκεῖος τῇ τοιαύτῃ αὐτῶν ζωῇ· οὐδὲ γὰρ παρὰ τὸν θεῖον σκοπόν ἐστι τοῦτο, τὸ ἐνδέχεσθαι καί τινας τοιούτους εἶναι· οὐ γὰρ οἷόν τε ἦν μὴ ἐνδέχεσθαι τοῦτο ἀνθρώπους ὄντας τῇ φύσει τῇ αὐτεξουσίῳ προαιρέσει χρωμένους. Ζώντων μέντοι πάντων ὁ Θεὸς ὁμοίως προνοεῖ ἕως ἂν εἰς τέλος τῆς αὐτῶν προαιρέσεως λάβῃ πεῖραν μὴ διακρίνων ἐν τῷ προνοεῖν πονηροὺς καὶ ἀγαθούς, δικαίους καὶ ἀδίκους, εὐσεβεῖς καὶ μὴ τοιούτους· «βρέχει γάρ φησιν ἐπὶ δικαίους καὶ ἀδίκους καὶ ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς»· καὶ τὸν ἀέρα ἐξέχεε πρὸς ἀναπνοὰς ὁμοίως εὐσεβέσι καὶ ἀσεβέσι καὶ σπᾶν τοῦ ὕδατος ὡσαύτως, τροφαῖς τε χρῆσθαι μὴ μόνον ἀναγκαίαις ἀλλὰ καὶ πρὸς ἡδονὴν καὶ τρυφὴν ἐφευρημέναις καὶ οὐδὲν τῶν πρὸς χρείαν ἀναγκαίαν ἢ τῶν τρυφὴν καὶ βλακείαν ὄντως ὁποιαδήτινι τῶν αἰσθήσεων ἐπιτηδείων ἀφῆκεν, ὃ μὴ κοινὸν προὔθηκεν ὁμοίως πᾶσιν, ἁμαρτωλοῖς καὶ δικαίοις, εὐσεβέσι καὶ ἀλλοτρίοις τῆς εὐσεβοῦς πίστεως· τούτοις δὲ τοῖς ἀλλοτρίοις καὶ εὐτυχίας καὶ εὐημερίας παρέσχεν ἵνα δι' αὐτῶν γνωρίσωσι τὸν παροχέα εἰς νοῦν ἐλθόντες τὸν προσήκοντα βουληθεῖεν, ἢ ἑτέροις λόγοις τῆς προνοίας ἡμῖν ἀφανέσι. Πολλοῖς δὲ ἐξεγένετο διὰ τῶν τοιούτων ἠνεῷχθαι τοὺς τῆς διανοίας ὀφθαλμοὺς καὶ ἰδεῖν τὸ τῆς ἀληθείας φῶς· ἀλλὰ καὶ ἐκτείνει καὶ συστέλλει ἐν αὐτοῖς τὰς ζωὰς κατὰ τοὺς ἀρρήτους τῆς αὐτοῦ προνοίας καὶ κρίσεως λόγους ἀναγνώστους ὄντας ἡμῖν· «ὡς ἀνεξερεύνητα, γάρ φησι, τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ»· τοὺς δὲ καλῶς ἐφιστῶντας καὶ εὐσεβῶς τοῖς ἐπιτελουμένοις ἐκ Θεοῦ οὐ πάντα ἂν διαφύγοι οὗ χάριν γίνεται ἕκαστον, τοῦ θείου φωτὸς τὴν εὐσεβῆ αὐτῶν διάνοιαν περιλάμποντος καὶ διψῶντας μαθεῖν παραμυθουμένου ἀκούοντας καλῶς ἐρευνᾶτε τὰς Γραφάς· ἀλλ' εἴτε γινώσκομεν εἴτε καὶ μή, ἓν τοῦτο καὶ πάνυ βέβαιόν ἐστιν, ὡς ἄρα πάντα οἰκείως καὶ κατὰ τὸν προνοητικὸν λόγον τῷ θείῳ περὶ ἕκαστον ὑπουργεῖ σκοπῷ καὶ τῇ πόρρωθεν περὶ αὐτῶν διατάξει τῆς ὑψηλοτάτης θείας προνοίας καὶ πάντα τὰ καθ' ἡμᾶς γινόμενα ἢ συμβαίνοντα ἀπ' ἀρχῆς μέχρι τέλους τοῦδε τοῦ βίου τῆς θείας ἤρτηται προνοίας καὶ ὑπ' αὐτῆς διατάττεται, πάντα ταῖς ἑαυτῆς στρεφούσης οἰκονομίαις· εἰ δὲ καὶ κατὰ τὸν προφήτην «ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ» Θεὸς ὤν, τὸ βάθος τῆς αὐτοῦ κρυφιότητος δηλοῦντος τοῦ λόγου, καὶ ἡμεῖς ἄνθρωποι ὄντες οὐχ οἷοί τε ἐσμὲν διαβλέψαι πρὸς τὴν αὐτοῦ κρυφιότητα καὶ τὸ τοῦ πλούτου βάθος αὐτοῦ κατανοῆσαι καὶ τοὺς λόγους τῆς αὐτοῦ προνοίας ἐξειπεῖν, οὐ παρὰ τοῦτο καὶ βλασφημεῖν δεῖ κατ' αὐτοῦ καὶ ἐξωθεῖν μὲν αὐτὸν τῆς τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων κυβερνήσεως καὶ διοικήσεως, ταὐτὸν δ' εἰπεῖν καὶ τῆς θεότητος, δωρεῖσθαι δὲ ταῦτα ἑτέροις καὶ ταῦτα δούλοις καὶ ὑπηρέταις αὐτοῦ, ὅπερ πεπόνθασιν ἕλληνες· ἢ αὐτόματα ἡγεῖσθαι αὐτὰ καθ' ἑτέρους ἀσεβεστέρους τοῦτο βλασφημήσαντας. Ὅτι δὲ κατάρχουσιν ἡμῶν οἱ ἐθνικοὶ μηδὲ τοῦτο ἄνευ Θεοῦ γίνεσθαι νομίσῃς· ἢ οὐκ ἀκήκοας ἀποστόλου λέγοντος «οὐκ ἔστιν ἐξουσία δεδομένη εἰμὴ ὑπὸ Θεοῦ»· μᾶλλον δὲ τούτου αὐτοῦ τοῦ Σωτῆρος εἰπόντος τῷ Πιλάτῳ «οὐκ ἔχεις ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ εἰμὴ ἦν σοι δεδομένον ἄνωθεν»· καὶ ὁ Παῦλος δὲ ἥκειν τοῖς ἄρχουσι παραινεῖ οὐ μόνον τοῖς ἐπιεικέσιν ἀλλὰ καὶ τοῖς μὴ τοιούτοις ἐκδικηταῖς οὖσι τοῦ Θεοῦ· «καὶ δώσω ὑμῖν, φησίν, ἄρχοντα κατὰ τὰς καρδίας ὑμῶν», τοῖς μὲν ἐπιεικέσιν ἐπιεικῆ δηλαδή, ὡς ὀθνείας μὴ δεομένοις παιδείας οἴκοθεν ἔχουσι ταύτην καὶ καλῶς ὑπὸ τοῦ ἐν αὐτοῖς πνεύματος ἀγομένοις, τοῖς πονηροῖς δὲ πονηρόν, δεομένοις ἑτέρου παιδεύοντος οἷοι καὶ ἡμεῖς, καὶ διὰ τοῦτο ὑπὸ τοιούτοις ταχθέντες ἄρχουσιν. Ἀλλὰ περὶ ἡμῶν εἴρηκεν ἡ Γραφὴ «ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγεῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται» μετανοοῦντα δήπου· περὶ δὲ ἐκείνων εἶπεν ὁ Θεὸς τόδε· «ᾧ ἐὰν δουλεύσητε ἐγὼ κρινῶ»· εἰσὶ γὰρ θεομισεῖς καὶ ἀποτρόπαιοι, εἰ καὶ τῇ χρείᾳ τῆς προνοίας ὑπηρετοῦσι καὶ κολάζουσι τοὺς ἀξίους κολάζεσθαι. Ὅτε γάρ, φησι, δεῖται κολαστῶν ὁ Θεὸς χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων δαίμοσι, νῦν δὲ ὧν ἔργα λοιμός· καὶ νῦν μὲν ἔθνει βαρβάρῳ, νῦν δὲ ἄρχοντι πονηρῷ καὶ καθ' ἅπαξ εἰπεῖν ταῖς ἐπιτηδείοις εἰς τὸ ποιῆσαι κακὰ δημόσια φύσεσιν· οὐ γὰρ ἐποίησεν ὁ Θεὸς ὄργανα συμφορῶν, ἀλλ' ἀφ' ἑαυτῶν εἰς τοῦτο ταχθεῖσιν ἑτοίμως ἐχρήσατο· ἢ τὴν τοῦ Ναβουχοδονόσορ καὶ τῶν Βαβυλωνίων ἔφοδον κατὰ τῆς Ἱερουσαλὴμ παρὰ γνώμην φήσεις γεγονέναι τοῦ Θεοῦ καὶ μὴ προεγνωσμένην ἢ προωρισμένην οὖσαν αὐτῷ, ὅς γε καὶ προανεφώνει καὶ προεκήρυττε διὰ τῶν προφητῶν καὶ δι' ἄλλων πολλῶν τερατωδῶν σημείων γενήσεσθαι καὶ γενομένην. Κατωρχήσαντο μὲν οἱ ἐχθροὶ τοῦ Θεοῦ τῶν ἱερῶν αὐτοῦ, περιέβαλον δὲ καὶ τὸν ἐκλεκτὸν καὶ ἠγαπημένον αὐτῷ κακοῖς ἀνηκέστοις καὶ αἰχμαλωσίᾳ δεινῇ, συγχωρήσει δήπου τούτου ἢ ὅτι Πέρσαι καθαιρέσουσιν Ἀσυρίων καὶ Μήδων τὰς ἀρχάς, ἕλληνες δὲ τὴν τῶν Περσῶν, Μακεδόνες δὲ τὴν Ἑλλήνων, Ρωμαῖοι δ' αὖ τὴν ἐκείνων. Οὐ προεγνωσμένον ἢ προωρισμένον ἦν τῷ Θεῷ τῷ ἐμπνεύσαντι τῷ Δανιὴλ ταῦτα προειπεῖν; οὐδὲν γὰρ τῶν τοιούτων ὃ μὴ πόρρωθεν καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἔγνωστο τῷ Θεῷ τοιῶσδε ἀποβησόμενον· οὐδὲ γινώσκει μόνον, ἐᾷ δὲ γίνεσθαι ὅπως ποτὲ ἔτυχεν, ἢ τελειοῦσθαι ἢ μὴ τελειοῦσθαι· ἀλλὰ καὶ τὴν τελείωσιν ἑκάστου καὶ σὺν ὁποίᾳ τάξει καὶ τίσι τρόποις καὶ ἀμέσως καὶ σὺν ὀργάνῳ, ὡς εἴρηται, διατάττεται.

Πείσθητι τοίνυν ὡς πάντα τῷ Θεῷ εἰσὶ καὶ προεγνωσμένα καὶ προωρισμένα καὶ πάντα τῇ προνοίᾳ Θεοῦ κυβερνῶνται καὶ διοικοῦνται τά τε τῶν εὐσεβῶν καὶ ἀσεβῶν, πονηρῶν τε καὶ ἀγαθῶν, δικαίων καὶ ἀδί-

κων, ἐφιστάνων τὸν νοῦν γνησίως τοῖς ῥηθεῖσιν, ἃ διὰ θεολόγων ἀνδρῶν παρὰ Θεοῦ ἐλαλήθησαν καὶ ἐγράφησαν καὶ ἡμεῖς παρὰ τῶν ἐντυγχανόντων τούτοις θεολόγων διδασκάλων μαθόντες μυσταγωγοῦμεν τῇ σῇ φιλομαθίᾳ. Εἰ δὲ βούλει καὶ αὐτολεξεὶ τὸ φρόνημα τῶν διδασκάλων καὶ θεολόγων μαθεῖν περὶ τούτου ἄκουε τοῦ μεγάλου πατρὸς καὶ διδασκάλου Ἀθανασίου λέγοντος περὶ τοῦ Κυρίου· « οὐδὲ γὰρ ἐν τῷ σώματι μὲν ἦν, ἀλλαχόθεν δὲ οὐκ ἦν· οὐδὲ ἐκεῖνο μὲν ἐκίνει, τὰ ὅλα δὲ τῆς τούτου ἐνεργείας καὶ προνοίας ἐκεκένωτο· ἀλλὰ τὸ παραδοξότατον Λόγος ὢν οὐ συνείχετο μὲν ὑπό τινος, συνεῖχε δὲ πάντα μᾶλλον αὐτός· καὶ ὥσπερ πάσῃ τῇ κτίσει ὢν ἐκτὸς μέν ἐστι τοῦ παντὸς κατ' οὐσίαν, ἐν πᾶσι δὲ ἔστι ταῖς ἑαυτοῦ δυνάμεσι τὰ πάντα διακοσμῶν καὶ εἰς πάντα ἐν πᾶσι τὴν ἑαυτοῦ πρόνοιαν ἐφαπλῶν καὶ ἕκαστον καὶ πάντα ὁμοῦ ζωοποιῶν, περιέχων τὰ ὅλα καὶ μὴ περιεχόμενος, ἀλλ' ἐν μόνῳ τῷ ἑαυτοῦ πατρὶ ὅλος ὢν κατὰ πάντα· οὕτω δὲ καὶ ἐν τῷ ἀνθρωπίνῳ σώματι ὢν καὶ αὐτὸς αὐτὸ ζωοποιῶν εἰκότως ἐζωοποίει καὶ τὰ ὅλα καὶ ἐν τοῖς πᾶσιν ἐγένετο καὶ ἔξω τῶν ὅλων ἦν· καὶ ἀπὸ τοῦ σώματος δὲ διὰ τῶν ἔργων γνωριζόμενος οὐκ ἀφανὴς ἦν καὶ ἀπὸ τῆς τῶν ὅλων ἐνεργείας ». Τούτῳ τῷ μεγίστῳ διδασκάλῳ καὶ πρώτῳ τῶν θεολόγων διδασκάλων ἢ κομιδῇ μετ' ὀλίγους γενομένῳ καὶ οἱ ἐφεξῆς ἅπαντες συνᾴδουσι κατὰ τοῦτο ὡς ἄριστοι μαθηταὶ ἀκριβῶς καὶ κατ' ἴχνος ἑπόμενοι τῷ κοινῷ διδασκάλῳ τὴν θείαν διῴκειν πρόνοιαν ἀποφαινομένῳ καὶ μέχρι στρουθίου καὶ τριχὸς κεφαλῆς, πρὸς δὲ χόρτου τοῦ ἀγροῦ καὶ τῶν λειμῶσιν ἀνθέων, ἔτι τε καὶ τῆς χροιᾶς καὶ ποιοτήτων αὐτῶν.

Ἤδη γὰρ ἀκήκοας τοῦ μεγάλου πατρὸς Ἀθανασίου ὡς ὁ Θεὸς συνέχει τὰ πάντα καὶ τὰ ὅλα πληροῖ τῆς ἑαυτοῦ ἐνεργείας καὶ προνοίας καὶ πάντα διακοσμεῖ ταῖς ἑαυτοῦ δυνάμεσι καὶ εἰς πάντα ἐν πᾶσι τὴν ἑαυτοῦ πρόνοιαν ἐφαπλοῖ καὶ ἕκαστον καὶ πάντα ὁμοῦ ζωοποιεῖ καὶ οὐκ ἀφανής ἐστιν ἀπὸ τῆς τῶν ὅλων ἐνεργείας. Τίς οὖν ἐστιν ὁ τολμῶν ἀντιφθέγγεσθαι τούτοις καὶ διαιρεῖν, καὶ τῶν μὲν τὴν πρόνοιαν τῷ Θεῷ διδούς, τῶν δὲ τοῖς στοιχείοις, τῶν δὲ τῇ τοῦ παντὸς κινήσει; τὰ δὲ αὐτομάτως ὡς ἔτυχε γίνεσθαι διδάσκων παρὰ τίνος εὐαγγελίου ταῦτα μαθὼν καὶ τίνος τοῦ λαλοῦντος ἐν αὐτῷ καὶ παρὰ τίνων διδασκάλων αὐτὸς εἰπάτω· σὺ δὲ ἐρρῶσθαι ταῦτα καταλιπὼν βεβαίως πίστευε ὅτι πάντα τὰ ἐν τῷ κόσμῳ, τά τε κατὰ ἄλογα ζῶα καὶ τὰ κατὰ λογικὰ ἁπλῶς ἅπαντα, ἀλλὰ καὶ κατὰ τὰ ἄψυχα, εἴτε γενέσεις εἴτε φθοραὶ εἴτε ἀλλοιώσεις εἴτε ὅτι δήποτε ἀπὸ τῶν μειζόνων μέχρι καὶ τῶν εὐτελεστάτων, τὰ γεγονότα ἢ γινόμενα ἢ γενησόμενα πάντα τῇ τοῦ Θεοῦ προνοίᾳ κυβερνῶνται καὶ διεξάγονται καὶ τῇ αὐτοῦ δυνάμει καὶ ἐνεργείᾳ διακοσμοῦνται. Καὶ μὴ δέδιθι τὸ παρά τινων ἀμαθῶς ἐπισειόμενον ἀδεὲς δέος· οὐ γὰρ παραβλάπτει τοῦτο τὸν τῆς θείας προνοίας λόγον βουλομένης πάντας τοῦ ἀρίστου τέλους τυχεῖν· ἀποτυγχάνουσι γὰρ τούτου οἱ μὴ ἐπιθυμήσαντες μηδὲ σπουδάσαντες γνησίως τυχεῖν, ἀλλ' αὐτοὶ ἑαυτοῖς ἑκόντες τὴν ἀθλιότητα προξενήσαντες. Τὸν μὲν γὰρ τῆς εὐδαιμονίας τόπον ἡτοίμασε τοῖς ἀρίστως βεβιωκόσιν ἡ τοῦ Θεοῦ ἀγαθότης, συμψηφιζομένης καὶ τῆς δικαιοσύνης αὐτοῦ ἀγαθῆς καὶ αὐτῆς οὔσης, τὸν δὲ τῆς ἀθλιότητος τοῖς μὴ τὸν αὐτὸν τρόπον τὸν βίον ἀνύσασιν ἡ θεία δικαιοσύνη, τῆς ἀγαθότητος μὴ ἀνθισταμένης· καὶ αὐτὴ γὰρ τὰ δίκαια βούλεται. Παῦσαι τοίνυν τὰς διαιρέσεις καὶ τὸ ὥρισται καὶ οὐ προώρισται προφέρων.

Πρὸς δέ γε τὸ πέμπτον, ὅ φησιν, ὅτι εὑρεθείη ἂν ὁ Θεὸς αἴτιος πολλοῖς τῆς παντελοῦς ἀπωλείας, εἰ προώρισται ὁ θάνατος αὐτῶν, ἐκεῖνο φαμέν· τῶν πάλαι φιλοσόφων οἱ Στωϊκοὶ εἱμαρμένην τινα τοῖς ἀνθρωπίνοις ἐπέστησαν πράγμασι τὸ πᾶν τῆς τῶν τοιούτων κυβερνήσεως ἀναθέμενοι ταύτῃ ὡς ἀνάγκῃ τινὶ ἀμεταθέτῳ ταῦτα διατιθεῖσαν, εἴτε χαρίεντα εἴτε σκυθρωπὰ εἶεν, ἣν καὶ Τύχην ὠνόμασαν τὸ ἑκάστου λάχος νήθουσαν ἀτρέπτως καὶ ἀμετακλώστως· ἕτεροι δέ τινες, οἱ Ἐπικούρειοι δηλαδή, δεισιδαίμονα καὶ αὐτοὶ διανύοντες βίον, ὥσπερ ἐκεῖνοι, ἀκυβέρνητα καὶ ἀπρονόητα τὰ πάντα μυθολογοῦσιν ὡς ἔτυχεν αὐτομάτως γεγονότα, πρόνοιαν δὲ μὴ εἶναι ὅλως καταψευδόμενοι, ἀπὸ δὲ τῆς τῶν ὑψηλοτέρων καὶ καθολικωτέρων κινήσεως καὶ ἐνεργείας τὰ μερικώτερα καὶ τὰ καθέκαστα ποτὲ μὲν οὕτως ἔχειν, ποτὲ δὲ ὡς ἑτέρως, γίνεσθαί τε καὶ ἀπογίνεσθαι, καὶ καθάπαξ εἰπεῖν, ταῖς ἐκείνων ἕπεσθαι στροφαῖς καὶ μεταβολαῖς, μηδεμίαν δὲ εἶναι Θεοῦ πρόνοιαν ἢ ἐνέργειαν περὶ αὐτά· ἄθεοι δὲ ὁμοίως ἀμφότεροι ἐκ διαμέτρου μὲν ἔχοντες τὸ κακόν, οὐδὲ ὅμοιον ἐν ἀμφοῖν κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται· ὁμοία γὰρ καὶ ἡ αὐτὴ ἐν ἑκατέροις ἡ ἀσέβεια· οἱ δὲ ἀπὸ Χριστοῦ τοῦ ἱεροῦ καὶ ἀπλανεστάτου διδασκαλείου ὄντες μύσται, Θεοῦ δημιουργίαν τοῦ παντός, δεσπότην τε καὶ προνοητὴν καὶ κηδεμόνα ἐγνώρισαν καὶ ἡμῖν παραδεδώκασι πρὸ τοῦ πλάσαι τὴν γῆν καὶ τὴν οἰκουμένην προωρισάμενον καὶ προεγνωκότα καὶ ὡς ἔσται καὶ ἥν τινα τὴν χρείαν παρέξει οὐ μόνον τὸ καθόλου, ἀλλὰ καὶ τῶν ἐν αὐτῷ κατὰ μέρος ἕκαστον καὶ ὡς συντελεσθήσεται καὶ μέχρι καὶ τοῦ λεπτοτάτου· « καὶ αἱ τρίχες γάρ φησι τῆς κεφαλῆς ὑμῶν ἠριθμημέναι εἰσίν »· τά τε γὰρ προγεγονότα, τά τε ὄντα, τά τε ἐσόμενα ὡς ἐνεστῶτα φαίνονται ἐνώπιον Κυρίου· ὡς γὰρ ὑπάρχοντα καὶ τὰ μέλλοντα φαίνονται· καὶ τοῦτό ἐστιν ὁ ὅρος καὶ ἡ πρόγνωσις, ὅτι « χίλια ἔτη ἐν ὀφθαλμοῖς Κυρίου ὡσεὶ ἡμέρα ἡ χθές »· εὑρίσκεται δ' ὅμως περὶ τούτου καί τις διαφορὰ μεταξὺ τούτων· ὁ μὲν γὰρ θεῖος πατὴρ Ἀναστάσιος, ὁ ἐπικληθεὶς Σιναΐτης « μὴ δεῖν ἐπὶ τῆς τῶν ἀνθρώπων ζωῆς ὅρον τινὰ πεπηγότα παρὰ Θεοῦ φρονεῖν » παραινεῖ, « ὥσπερ οὐδὲ ἐπὶ τῶν ἄλλων κατὰ τὸν βίον πράξεων ἢ παθημάτων, ἀναίτιον δὲ τούτων ἁπάντων εἶναι τὸν Θεὸν ἐπιτετραφότα πάντα τῇ τε φύσει καὶ τῇ προαιρέσει ἡμῶν, ἢ τῇ τοῦ παντὸς κινήσει, μηδενὸς τούτων ἐπιστρεφομένου τοῦ Θεοῦ ». Οὕτω μὲν φρονεῖ Ἀναστάσιος μηδὲν διδασκαλικὸν ἀξίωμα κτησάμενος ἐν τῇ ἐκκλησίᾳ μήτε ἀπὸ τῶν ἱερῶν λογίων ἔχων τὴν σύστασιν, ὧν λέγει· λόγοις δὲ τὸ πιθανὸν ἔχουσι θαρρῶν καὶ ἀνάγκαις ἀποδεικτικαῖς ἐκ τῶν περὶ ἡμᾶς πραγμάτων εἰλημμέναις, προνοητικὸν μέν τοι τὸν Θεὸν πάντων καὶ τῶν περιόντων τῆς δυνάμεως οἷόν τ' εἶναι μεταποιεῖν ἅπαντα κατὰ τὸ αὐτῷ βουλητόν, καὶ αὐτὸν

εἶναι τὸν παρασχόντα πᾶσι τὸ εἶναι καὶ τὸ κινεῖσθαι καὶ ἐνεργεῖν καὶ σφόδρα ὁμολογεῖ. Βασίλειος δὲ ὁ μέγας, οὗ τὸ ἀξίωμα πολὺ ἐν τῇ ἐκκλησίᾳ, ἐν ταῖς πρὸς Θεὸν ἐντεύξεσιν, αἷς γονυκλιτοῦσιν ἡμῖν ἔθος ποιεῖν, τάδε τῷ Θεῷ διαλέγεται · « ὁ χρόνους μετρῶν τοῖς ζῶσι καὶ καιροὺς ἱστῶν θανάτου » · πολλοὶ δὲ καὶ ἕτεροι τῶν ἐπιφανῶν ἁγίων συνᾴδουσι τῷ μεγάλῳ τούτῳ πατρί, τρόπον δέ τινα ἑκάτερος οὐκ ἀφαιρεῖται τοῦ Θεοῦ τὴν τοῦ παντὸς διοίκησιν καθολικῶς τε καὶ μερικῶς καὶ τὸ προνοητικὸν δι᾽ ὃν καὶ ὁ ὅρος εἰσάγεται. Εἰ γὰρ ἐπέτρεψε πάντα τῇ τε φύσει καὶ τῇ προαιρέσει, αὐτὸς δέ ἐστιν ὁ δημιουργήσας αὐτὰ καὶ προνοῶν αὐτῶν, προγινώσκει δὲ καὶ τὰ ὑπ᾽ αὐτῶν τελούμενα ἀμέσως καὶ δύναται καὶ μεταποιεῖν αὐτὰ ὅτε βούλεται, εὔδηλον ὡς ὡρισμένως γινομένων ἢ καὶ γενησομένων προνοεῖ καὶ μεταποιεῖ · γινωσκόμενα γὰρ ὅτι οὕτως ἔσται καὶ ὡρίσθαι οὕτως ἐχρῆν, προγινωσκόμενα δ᾽ αὖ καὶ προώρισται δήπου · προωρισμένα δὲ οὕτω καὶ οὕτω γίνεσθαι, ἐπειδὴ ὡς οὕτως ἐσόμενα καὶ οὕτω προώριστο · οὐ γὰρ ὅσιον εἰπεῖν τὸ μέλλον ἀγνοεῖν τὸν Θεὸν ἢ ὑπομένειν ὅπως ἄν τι γένοιτο ἵνα γνῷ · ἀορίστων δὲ οὐκ ἄν ποτε γένοιτο γνῶσις Θεῷ πρέπουσα. Οὔκουν οὐδέτερος τῶν θείων τούτων πατέρων ἐκβάλλει ἢ ἀγνοεῖ τὸν θεῖον προορισμὸν ἕως ἄν καὶ τὴν θείαν πρόγνωσιν ὁμολογῶσιν · οὐ γὰρ ἀνήκοοι τοῦ λογίου εἰσὶ λέγοντος « οὓς προέγνω καὶ προώρισεν ». Ὁ γέ τοι θεῖος προορισμὸς οὐκ ἀναγκάζει τὸ αὐτεξούσιον, διὸ καὶ οὔτε ὠφελεῖ τοὺς προῃρημένους τὰ βελτίω οὔτε βλάπτει τοὺς τὰ χείρω · ἑκόντες γὰρ αἱροῦνται ἀμφότεροι ὁπότε αἱροῦνται · διὸ καὶ οἱ μὲν στεφανοῦνται, οἱ δὲ κολάζονται, ὡς ὅλῃ αὐτῶν προαιρέσει τοιοίδε ἀποτελεσθέντες καὶ ὡς ἐπεφύκει ἕκαστος καὶ ἀποτελεσθήσεσθαι ἔμελλεν, οὕτω καὶ προέγνωστο καὶ προώριστο τῷ Θεῷ καὶ ὡς ἡ θεία βούλησις, μᾶλλον δ᾽ εἰπεῖν ὡς ἡ θεία δικαιοσύνη καὶ ἀγαθότης μέλλει τὰ κατ᾽ αὐτοὺς ἀποτελέσειν ἐν τῷ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ · ἀγαθὰ μὲν τοῖς ἑλομένοις τὸ ἀγαθόν, πονηρὰ δὲ τοῖς τὸ πονηρόν, ὧν πάντων ὁ Θεὸς αἴτιος καὶ ἀναίτιος · τὸ μὲν ὅτι πάντα ἐνεργεῖ καὶ διοικεῖ καὶ ἑτοιμάζει καὶ δικάσει καὶ ἀποδώσει καὶ ἕκαστον πρὸς τὸ οἰκεῖον παραπέμψει τέλος · τὸ δὲ ὅτι οὐδ᾽ ἴχνος ἀνάγκης τινὸς ἐπάγει τῇ προαιρέσει ἀλλ᾽ αὐτεξουσιότητι γνώμης καὶ προαιρέσεως αἱρεῖται ἕκαστος ὁπότερον ἄν προέλοιτο.

Μάθε τοῦτο καὶ ἀπὸ παραδείγματος · τοξοτῶν τις εἰδὼς βάλλειν εὐφυῶς βέλος ἀφεὶς πρὸς τὸν σκοπόν, ὁρμῶν μὲν αὐτὸ ἰὸν εὐθὺ τούτου καὶ μέλλον τυχεῖν αὐτοῦ τέρπεται καὶ εἰ οἷόν τε αὐτῷ ἐπάγεται καὶ ὁδηγεῖν καὶ παρεπόμενος συνεπωθεῖν καὶ πᾶσι τρόποις ὁρμήν τε καὶ δύναμιν ἐνιέναι πρὸς τὸ καὶ ἔτι βέλτιον φθάσαι πρὸς τὸν σκοπόν, ὡς δή τι μέγα κερδανῶν · ἑωρακὼς δὲ τοῦτο ἐκτραπὲν καὶ παραφερόμενον ἰδίᾳ στρεβλότητι καὶ κακίᾳ καὶ μὴ πρὸς τὸν σκοπὸν τρέχον πρὸς ὃν καλῶς ἀφῆκεν ὁ εὐφυὴς τοξότης ἐκεῖνος, αὐτὸς μὲν ἀδημονεῖ ὡς τὰ μέγιστα ζημιωθησόμενος, ἀπέστρεψέ τε τοὺς ὀφθαλμοὺς αὐτοῦ τοῦ μὴ βλέπειν αὐτὸ καὶ οὐδὲ ἐπᾶραι αὐτοὺς πρὸς αὐτὸ ὑπομένει, ἀλλ᾽ ἐγκαταλιμπάνει αὐτὸ ὡς ἀπολούμενον · τὸ δὲ καταπεσὸν ὅπῃ τύχοι, ἢ θηρίων συμπατησάντων αὐτὸ κατάγνυται, ἢ ὁδίτου τινὸς εὑρόντος, κατὰ κρημνοῦ ῥίπτεται. ἢ παραδίδοται πυρί · τῶν τοιούτων τίνι προσάψεις τὴν αἰτίαν; τῷ καλῶς ἀφέντι τοξότῃ ἢ τῇ στρεβλότητι τοῦ βέλους; τῷ δευτέρῳ πάντως. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Θεὸς πάντας μὲν ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἰ δέ τινες δι᾽ οἰκείαν ἐμπάθειαν ἢ φιληδονίαν καὶ ἐθελοκακίαν διαμαρτάνουσι τούτου, αὐτοὶ ἑαυτοῖς εἰσιν αἴτιοι τῆς ἀπωλείας, οὐχ ὁ Θεός, ὃς αὐτοαλήθεια ὢν εἴρηκεν · « οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν » ὡς καὶ τοῖς ἔργοις τοῦτο ἔδειξεν ἐπί τε τοῦ Ἐζεκίου καὶ τῶν Νινευϊτῶν καὶ ἄλλων πολλῶν. Καὶ μὴ εἴπῃς τὸ ψυχρὸν τουτὶ ῥῆμα, τὶς οἶδεν ἢ ὁ κατακρημνισθεὶς ἢ θηριάλωτος ἢ ὁ ἑτέρῳ τινὶ αἰφνιδίῳ θανάτῳ περιπεπτωκὼς ἐπιστρέψας μετενόει καὶ ἐσώζετο · ἀκούσῃ γὰρ ὅτι ἄνθρωπος μὲν οὐκ οἶδε, Θεὸς δὲ ὁ πάντα προγινώσκων καὶ προβλέπων οἶδε καὶ οὐκ ἄν ἐγκαταλελοίπει αὐτὸν ᾔδει μετανοήσαντα, ὥσπερ οὐδὲ τὸν Ἐζεκίαν καὶ τοὺς ἄλλους. Σκόπει δὲ καὶ ἐκ τῶν ἤδη ῥηθησομένων · τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ ἀνθρώπους ἑωρακὼς ὁ Θεὸς σάρκας μόνον ὄντας, μηδὲν δὲ θεῖον ἐννοοῦντας ἢ πράττοντας, πανωλεθρίαν αὐτῶν κατεψηφίσατο, πλὴν τοῦ Νῶε καὶ τῆς κατασκευῆς τῆς κιβωτοῦ προανεφώνει τούτοις τὴν ἀπώλειαν ἵνα πάντες μετανοήσαντες σωθῶσιν · ἀμφότερα γὰρ προέγνωστο τῷ Θεῷ καὶ προώριστο, ἥ τε διὰ μετανοίας σωτηρία καὶ ἡ πανωλεθρία διὰ τὸ ἀμετανόητον · ὁμοίως καὶ τοῖς Νινευΐταις ἐπιπέμψας τὸν Ἰωνᾶν προεκήρυττε τὴν καταστροφὴν εἰ μὴ μεταγνοῖεν · ἀλλ᾽ οὗτοι μὲν μετανοίας χρησάμενοι τρόποις διεσώθησαν, ἐκεῖνοι δὲ μηδὲν τοιοῦτον δεδρακότες ἀπώλοντο · οὐκ ἄρα αὐτοὶ ἑαυτοῖς ἑκάτεροι αἴτιοι οἱ μὲν τῆς σωτηρίας, οἱ δὲ τῆς ἀπωλείας; « εἰμὴ γὰρ ἦλθον, φησί, καὶ ἐλάλησα αὐτοῖς ἁμαρτίαν οὐκ εἶχον · νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν » ὥσθ᾽ ἑαυτοὺς ἀπολῦσαι, ἑτέρῳ δέ τινι ταύτην προστρίψαι · ἢ οὐχὶ καὶ ἐς δεῦρο ταῦτα ὁ Θεὸς προαναγγέλλει πᾶσι καὶ προκηρύττει διὰ προφητῶν, διὰ διδασκάλων, διὰ παραδειμάτων ἤδη γεγενημένων, διὰ πραγμάτων ὁσημέραι γινομένων ὧν οὐκ ἐθέλουσιν ἐπαΐειν ὅσοι τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν τὸ φῶς τῆς ἀληθείας ἰδεῖν μὴ θελήσαντες καὶ δίκην ἀσπίδων ἔβυσαν τὰ ὦτα πρὸς τὰ θεῖα καὶ σωτηριώδη ἐπάσματα, πρὸς δὲ τὰ τῆς κακίας καὶ λίαν προθύμως ἀνέῳξαν · οὐκ ἄρα ὁ Θεὸς αἴτιος οὐδενὸς κακοῦ οὐδενί, ἢ ἐν τῷ παρόντι ἢ ἐν τῷ μέλλοντι, εἰ καὶ πάντων ἁπλῶς ἐστιν αἴτιος τῶν τε ὄντων, τῶν τε γινομένων σωμάτων τε καὶ πραγμάτων, παρῳχημένων τε καὶ ἐνεστώτων καὶ μελλόντων.

Ἴωμεν τοίνυν ἐπὶ τὸ ἕκτον τῆς ἐρωτήσεως τὰς γραφικὰς ἐπισκεψάμενοι χρήσεις εἰ συνιστῶσι τὸ ἀόριστον, καὶ διὰ τοῦτο οἱ ἐκφεύγοντες τοὺς ἐφθαρμένους ἀέρας. δι᾽ ὧν οἱ θανατικοὶ λοιμοὶ κατὰ τόπους γίνονται, σώζονται, φθείρονται δὲ οἱ ἐμμένοντες αὐτοῖς · « ὁ Θεός φησι θάνατον οὐκ ἐποίησεν » οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων, ὥστε ἀνεῖται παρὰ Θεοῦ τοῖς ἀνθρώποις τὸ θανεῖν καὶ μὴ θανεῖν τινα ·

καὶ ἐὰν μὴ τύχῃ τις περιπεπτωκὼς λησταῖς ἢ κρημνῷ ἢ ἑτέρῳ τινι τοιούτῳ ἢ ἐὰν μὴ παρῇ ἐν τόπῳ ἔνθα λοιμός, σώζεται, εἰ δὲ μὴ τοῦτο τελευτᾷ· ἐάσθω τοίνυν, τό γε νῦν, ὡς ἐν τούτῳ συνδοξάζει τοῖς τὸ αὐτόματον εἰσάγουσιν ὁ οὕτω φρονῶν, εὐσεβεστέρως δὲ τοῦτο ἐπισκεπτέον. Θάνατον ἐνταῦθα νόει τὴν τοῦ συναμφοτέρου ψυχῆς τε καὶ σώματος φθοράν, καθ' ὃν καὶ ὁ ἀπόστολος περὶ τῆς ῥαθύμως βιούσης λέγει ὅτι « καὶ ζῶσα τέθνηκε »· διὸ καὶ ἐπάγει οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων καὶ ὁμολογουμένως ἐπάγεται καὶ ὅμως καὶ ὁ θάνατος καὶ ἡ ἀπώλεια τοῖς ἀξίοις αὐτοῦ, ὡς καὶ τοῖς ἐπὶ τοῦ κατακλυσμοῦ· ἢ τὴν ἐκείνων ἀπώλειαν ὡς ἔτυχε γεγονέναι φήσεις, μὴ προεγνωσμένην μηδὲ προωρισμένην οὖσαν τῷ Θεῷ προαναφωνοῦντι ταύτην καὶ προαναγγέλλοντι διὰ τοῦ Νῶε πολλαῖς ἤδη γενεαῖς πρότερον, ὅπερ οὐδὲ τῷ εἰπόντι τὴν ῥῆσιν ταύτην λέληθεν· εἰ δὲ τὸν ἁπλῶς καὶ κατὰ φύσιν θάνατον εἴποις, συντίθεμαι καὶ αὐτός· τῷ ὄντι γὰρ ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν· ἐπιτίμιον γάρ ἐστι τῆς ἁμαρτίας παρ' ἡμῶν ἡμῖν αὐτοῖς εἰσενηνεγμένος· οὐδὲ τέρπεται ἐν' ἀπωλείᾳ ζώντων· πῶς γάρ, ἀθανάτους πλάσας αὐτούς, παρὰ δὲ τὸν σκοπὸν αὐτοῦ τῷ θανάτῳ παραδοθέντας; ἐλλιπὴς δὲ οὖσα ἡ χρῆσις αὕτη, οὗ χάριν καὶ ἀσαφὴς δοκεῖ, ἀναπληροῦται καὶ σαφηνίζεται δι' ἑτέρας χρήσεως τοῦ ἱεροῦ καὶ μεγάλου πατρὸς ἡμῶν Βασιλείου διαρρήδην οὕτω καὶ φανερῶς λέγοντος· « θάνατοι δὲ ἐπάγονται τοῖς ἀνθρώποις τῶν ὅρων τῆς ζωῆς πληρωθέντων οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις πόρρωθεν περὶ ἕκαστον συμφέρον προβλεπομένη ». Καὶ ὁ Θεολόγος Γρηγόριος κατὰ τὴν μεγάλην τοῦ Θεοῦ βουλήν τε καὶ πρόγνωσιν ἢ πόρρωθεν οἶδε προκαταβάλλεσθαι τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις· καὶ πρὸ τούτων δὲ ἐπεὶ καὶ τὸν χρόνον πρότερος ὁ μέγας φωστὴρ τῆς ἐκκλησίας καὶ θεολόγος Ἀθανάσιος ἀριδήλως οὕτω φησί· « λοιπὸν κατὰ τὸ τοῦ σώματος θνητὸν διαλυόμεθα μόνον τῷ χρόνῳ ὃν ἑκάστῳ ὁ Θεὸς ὥρισεν, ἵνα κρείττονος ἀναστάσεως δυνηθῶμεν »· καὶ ὁ ἐν τοῖς μεταγενεστέροις διδασκάλοις Ἰωσὴφ ὁ ὑμνῳδὸς οὕτως ἀποφαίνεται· « τῆς ψυχῆς ἐκ τοῦ σώματος χωριζομένης, ὁ φυσικώτατος δεσμὸς θείῳ βουλήματι ἀποτέμνεται ». Ὁρᾷς τὴν συμφωνίαν τῶν διδασκάλων ἐν τῷ ζητήματι τούτῳ, πρώτων τε καὶ μέσων καὶ τελευταίων πάντων ὅρον ζωῆς ὁμολογούντων καὶ τῷ θείῳ βουλήματι ἐπάγεσθαι τὸν θάνατον, κατὰ τὴν μεγάλην τοῦ Θεοῦ βουλήν τε καὶ πρόγνωσιν προορισθέντων ἑκάστῳ πρὸς τὸ συμφέρον, καὶ ἐπάγεται ὡς ἡ τοῦ Θεοῦ δικαιοκρισία προεψηφίσατο, πονηρὸς μὲν τοῖς πονηροῖς — « θάνατος γάρ φησι ἁμαρτωλῶν πονηρός » — τοῖς δὲ ὁσίοις τίμιος· καὶ γάρ φησι « τίμιος ὁ θάνατος τῶν ὁσίων αὐτοῦ ». Καὶ πολλὰ ἕτερα λέγειν ἔχομεν τοῦτο συνιστῶντα· τῷ Ἐζεκίᾳ γὰρ τοῦ τῆς ζωῆς ὡρισμένου τέλους εἰς πέρας ἐλθόντος, ἐτῶν ἀριθμὸς δέκα πέντε προσετέθη· ἑτέρῳ δὲ βασιλεῖ Χαλδαίων ἁμαρτήσαντι μεγάλα συνετμήθη ὁ τοιοῦτος ὅρος· ἀλλὰ καὶ τῷ Ἀνανίᾳ καὶ τῇ Σαπφείρῃ ψευσαμένοις τὸ Πνεῦμα τὸ ἅγιον διὰ Πέτρου ἐπιτετιμηκότος αὐτοῖς συνετμήθη ὁ τῆς ζωῆς αὐτῶν ὅρος· μαρτυρεῖ καὶ Δαυὶδ ἱκετεύων τὸν Θεὸν μὴ ἀναγαγεῖν αὐτὸν ἐν ἡμίσει ἡμερῶν αὐτοῦ, μὴ συντμηθῆναι πάντως τοὺς τῆς ζωῆς αὐτοῦ ὅρους αἰτούμενος· πάντες γὰρ ζωῆς καὶ θανάτου Κύριον τὸν Θεὸν καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὴν πνοὴν εἶναι πάντων τῶν ζώντων ὁμολογοῦσι· « Κύριος γάρ φησι θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδην καὶ ἀνάγει »· διὰ τοῦτο καὶ πολλοὶ νοσοῦσι συναναστρεφόμενοι καὶ τὸν αὐτοῖς ἀέρα σπῶντες ἀσινεῖς ἐφυλάχθησαν· πολλοὶ δὲ πολλάκις ἐκ θανατικῶν τε νόσων καὶ κινδύνων μεγάλων παραδόξως ἐσώθησαν· πολλοὶ δὲ καὶ μηδενὶ τοιούτῳ προσωμιληκότες αἴφνης ἀποτεθνήκασι. πάντα γὰρ ἡ πόρρωθεν προορωμένη τὸ συμφέρον ἑκάστου θεία πρόνοια οἰκονομεῖ· τοῦτο καὶ ὁ Σωτὴρ παραβολικῶς ἐν εὐαγγελίοις διδάσκει τὴν καταψηφισθεῖσαν ἐκκοπὴν τῆς συκῆς τῆς ἀκάρπου ἀναβεβλῆσθαι λέγων εἰς τὸ ἐπιὸν ἔτος δι' ἐλπίδα φορᾶς προνοίας τινος ἐπ' αὐτὴν γενομένης· εἰ δ' οὖν πρόρριζον αὐτὴν ἐκτμηθῆναι καὶ εἰς πῦρ ἐμβληθῆναι· ἀφ' ἧς δὴ παραβολῆς τὶς οὐκ ἂν μάθοι, ὡς αὐτοῦ τοῦ Σωτῆρος παραδιδόντος ἡμῖν τὸν τῆς ζωῆς ἑκάστου ὅρον, ἁμαρτωλοῦ τε ὁμοίως καὶ δικαίου, καὶ ὁτὲ μὲν συντέμνοντος, ὁτὲ δὲ καὶ ὑπερτιθεμένου, κατὰ τὸ βουλητὸν αὐτῷ, τὸ μὲν διὰ τὴν ἀπόγνωσιν, τὸ δὲ διὰ τὴν ἐλπίδα τῆς ἐκ τῆς ἐπιστροφῆς ζωῆς, ἐῶ τό γε νῦν, εἴτε τῆς ἐν τῷ παρόντι εἴτε τῆς ἐν τῷ μέλλοντι βίῳ ὁ μὴ στέργων ἀλλ' ἀντιλέγειν ἐπιχειρῶν, εὐλόγως ἂν μαινόμενος δόξειε παρά γε κριταῖς σοφοῖς, ὡς αὐτῷ ἀντιλέγων τῷ Θεῷ. Ἀμέλει καὶ εὐδοκεῖ μὲν ὁ Θεὸς τὸν θάνατον ἐν τοῖς κεκμηκόσι πολλὰ κατὰ τὴν τραχυτάτην καὶ ἀνάντη τῆς ἀρετῆς ὁδόν, ἵνα τοῦ ἐφετοῦ αὐτοῖς τέλους τύχωσι πρὸς ὃ ἐπείγονται φθάσαι, ὃ καὶ αὐτοὶ αἰτοῦνται παρ' αὐτοῦ « ἐξάγαγε λέγων ἕκαστος ἐκ φυλακῆς τὴν ψυχήν μου » καὶ « ἐπιθυμῶ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι », συγχωρεῖ δὲ ἐν τοῖς δι' αὐτὸν ἀθλοῦσι δι' αἵματος καὶ πρὸς θηρία καὶ πῦρ καὶ ξίφη παραβαλλομένοις καὶ οὐκ ἀποβαλλομένοις τὴν καλὴν ὁμολογίαν, ὅπως αὐτοί τε πρὸς τὸ ποθούμενον ἀφίκωνται τέλος καὶ τελειωθῶσιν ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ, καὶ αὐτός τι κερδανεῖ τὴν τῶν παραδόξων θαυματουργιῶν τῶν ἀθλούντων παρανεωξάντων τοὺς τῆς διανοίας ὀφθαλμοὺς καὶ τὴν θείαν ἔλλαμψιν εἰσδεξαμένων καὶ ἐμμεινάντων ἐν τῇ καλῇ ὁμολογίᾳ καὶ τελειωθέντων δι' αἵματος σωτηρίαν, ὧν πολλοὺς ἴσμεν τὸ μακάριον τοῦτο πεπονθότας πάθος, διώκτας ὄντας τὸ πρότερον. Παρεχώρησε δὲ ἐν τῷ Ἰὼβ τοὺς πειρασμοὺς καὶ τοὺς θανάτους τῶν ἐξ αὐτοῦ τεχθέντων καὶ τὴν τῶν προσόντων αὐτῷ ἀπώλειαν ἵνα τὸ δοκίμιον τῆς αὐτοῦ πίστεως διάδηλον πᾶσι γένηται, καὶ αὐτὸς μὲν ἐπὶ πλέον δοξασθῇ καὶ τελειωθῇ ἐν τῇ πρὸς Θεὸν ἐλπίδι, καταισχυνθῇ δὲ ὁ ἐξαιτησάμενος αὐτὸν ὡς μάτην φρονήσας περὶ αὐτοῦ τὰ χείρω, οὐ μικρὰν δὲ ὄνησιν λάβωσιν οἱ ἐφεξῆς πρὸς αὐτὸν ὁρῶντες· ἐγκαταλείπει δὲ τοὺς ἀμεταστρεπτεὶ τὴν τῆς κακίας ὁδὸν τρέχοντας, κατὰ τοὺς κατακλυσθέντας ἢ τοὺς ἐν Σοδόμοις τοὺς τὴν ἀπώλειαν ἑαυτοῖς προξενοῦντας καὶ ἑκοντὶ τῆς μακαριότητος ἐκπίπτοντας· ἅπερ δὴ πάντα προεγνωσμένα ὄντα τῷ Θεῷ καὶ προωρισμένα ἀποτελεῖται

ἕκαστον ἐν τοῖς ἀξίαις τούτου πρὸς τὸ συμφέρον αὐτοῖς τε καὶ ἑτέροις, κατὰ τοὺς ποικίλους τρόπους τῆς προνοίας καὶ λόγους, οὐ μὴν ἐξ ἀνάγκης τινὸς ἑτέρας· τοῦτο γὰρ ἂν εἴη τῆς εἱμαρμένης ἥτις ἡμῖν τοῖς ἀπὸ Χριστοῦ κεκλημένοις ἀπείρηται, ἀλλ' ὅτι ἡ δικαιοκρισία τοῦ Θεοῦ καὶ ἡ ἄπειρος αὐτοῦ ἀγαθότης ταῖς ἡμετέραις διαθέσεσιν ἐξομοιοῦται, καὶ μετεγνωκότων ἡμῶν καὶ ἐπιστρεψάντων ἀπὸ τῆς κακίας καὶ τῶν πονηρῶν ἔργων, ἐπιστρέφει καὶ ὁ Θεὸς ἀπὸ τῆς ὀργῆς καὶ ἀνίησι τοὺς τῆς καταδίκης ὅρους, ὡς ἐπὶ τῶν Νινευϊτῶν, ἐνίοτε καὶ συγγνώμην χαρίζεται παντελῆ τῷ ἀπείρῳ ἐλέει αὐτοῦ· ἐπεκτεινομένων δὲ ἡμῶν ἐν τῇ κακίᾳ ἐπέκεινα τοῦ μέτρου, τὴν ὀργὴν πλεονάζων συντέμνει τοὺς ὅρους ὡς ἐν ἡμίσει τῶν ὡρισμένων ἡμερῶν συστέλλειν αὐτοὺς ὡς ἔχων ἐξουσίαν καὶ ἰσχὺν μεταποιεῖν ἅπαντα καὶ μετατιθέναι πρὸς τὸ συμφέρον καὶ βέλτιον. Τούτων οὕτως ἐχόντων, ποῦ δίκαιον τοῖς γραῶν λήροις ἐνασμενίζοντά τινα λέγειν, μᾶλλον δὲ δοξάζειν βεβαίως, ὡς ὁ ἀποδρὰς ἐκ τόπου ἔνθα λοιμὸς οὐ θνήσκει, ὁ δὲ ἐμμείνας ἀποθανεῖται πάντως, ὡς ἀρκοῦντος τούτου μόνου τινὶ θανεῖν ἢ μή, τοῦ φυγεῖν ἢ μεῖναι. Συνῆκας ταῦτα πάντα καλῶς ἢ ἔτι σοι λείπεται πρὸς σαφήνειαν;

**Μύστης.** Αἴνιγμά μοι δοκεῖς λέγειν, ὦ μυσταγωγέ, ὅρον μὲν εἰσάγων ζωῆς καὶ καιρὸν θανάτου τῶν ἀνθρώπων, ἐν ταυτῷ δ' αὖθις ἀντιφάσκων καὶ μὴ εἶναι ὅρον ἀποφαινόμενος· μεταβαλὼν γὰρ αὐτὴν τὴν τοῦ Θεοῦ πρόγνωσιν ὅρον ὀνομάζεις τὴν πάντα περιληπτικῶς προεγνωκυῖαν, ἐν ᾗ οὐκ ἔστιν εὑρεῖν ὅρου γνώρισμα οὐδέν· πῶς γὰρ ἂν εἴη ὅρος ὁ μετακινούμενος, ἐκτάσεις τε καὶ συστολὰς ὑπομένων; ἄλλο γὰρ ὅρος καὶ ἕτερον πρόγνωσις· ὃ γάρ τις ὁρίζει πάντως καὶ προγινώσκει, οὐ μὴν ὃ προεῖδε τοῦτο καὶ προώρισεν.

**Μυσταγωγός.** Αἴνιγμά σοι δοκεῖ, ὦ μύστα, τὰ εἰρημένα ἐνισχυμένῳ ὄντι τοῖς τῆς μωρανθείσης σοφίας τῶν νεκρῶν σοφίσμασι καὶ τούτοις κρίνειν ἐθέλοντι τὰ τῶν θεοσόφων ἀνδρῶν καὶ τῆς ἀληθοῦς ζωῆς ἠξιωμένων πνευμακρότητα ῥήματα, ἅπερ ἐκ τῶν συγγεγραμμένων αὐτοῖς περὶ τῶν τοιούτων ἀναλεξάμενοί σοι προὐθήκαμεν· καὶ ἀκούων ὅρον ἀπαιτεῖς τὸν κατηγορούμενον κατά τινος ἐν τῷ τί ἐστιν. Ἴσμεν τοίνυν ἀποδοῦναί σοι τοιοῦτον ὅρον, εἴτε ἀνθρώπου εἴτε ζωῆς εἴτε θανάτου αὐτοῦ εἴτε τινὸς ἑτέρου, οἷον ὅτι ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, γελαστικόν, πλατυόνυχον, ὅς ἐστιν ὅρος ἀνθρώπου, ἢ ὅτι ἕνωσις ψυχῆς μετὰ σώματος παρεχούσης αὐτῷ τὸ ζῆν καὶ κινεῖσθαι καὶ αἰσθάνεσθαι, ὅς ὅρος ζωῆς, καὶ ὅτι διάλυσις ψυχῆς ἀπὸ τοῦ σώματος, τῆς μὲν ψυχῆς ἀποχωρούσης πρὸς τὰ ἀθάνατα ὡς ἀθανάτου, τοῦ δὲ σώματος ἀλλοιουμένου εἰς τὰ ἐξ ὧν συνέστη, ὅς ἐστι τοῦ θανάτου· ἔστι δὲ οὐ περὶ τοιούτων ὅρων νῦν ὁ λόγος ἡμῖν, ἀλλὰ τὸν χρόνον φαμὲν προορίζειν τὸν Θεόν, καθ' ὃν θνήσκει ὁ ἄνθρωπος, συντελεσθείσης αὐτοῦ τῆς ζωῆς, ὃ διδάσκει καὶ ὁ μέγας πατὴρ Βασίλειος, ᾧ πηλίκον ἐστὶν ἀξίωμα διδασκαλίας ἐν τῇ ἐκκλησίᾳ καὶ ὅπως τὸ συγκεχωρηκὸς ἐν ἅπασι τοῖς λεγομένοις αὐτῷ παρὰ πάντων ἔχει, ὡς μὴ ἄν ἕνα μηδένα θέσθαι τετολμηκότα μὴ οὐ καταγέλαστος δοκεῖν, ἴσασι πάντες καλῶς· οὗτος τοίνυν ἀνθομολογούμενος τῷ Θεῷ φησίν· « ὁ χρόνους μετρῶν τοῖς ζῶσι καὶ καιροὺς ἱστῶν θανάτου »· καὶ ἄλλους πολλοὺς τῶν ἐπιφανῶν καὶ μεγάλων πατέρων συνῳδὰ τούτῳ φθεγγομένους ἔχομέν σοι δεῖξαι, εἰμὴ καὶ ταῖς αὐταῖς συλλαβαῖς, οἷς ἑπόμενοι καὶ ἡμεῖς τὸν καιρὸν τῆς ἑκάστου τελευτῆς σοι φαμὲν προορίζειν καὶ προγινώσκειν τὸν Θεόν, οὐχ ὥς τις τύραννος λέγων δικαίως ἢ ἀδίκως ὁρίζων τόν δε ἀποθανεῖν, μέχρι διορίας τυχὸν δέκα ἡμερῶν, ἢ θανάτῳ ἢ ξίφει ἢ ἀγχόνῃ, ἀλλ' ὡς προγνώστης καὶ δημιουργὸς πάντων Θεός, ὁ πάντα τὴν ἀρχὴν ποιήσας καὶ εἰδὼς καὶ τὰ τέλη αὐτῶν καὶ τῶν καθόλου καὶ τῶν καθέκαστα καὶ ὡρισμένα πάντα ἔχων ἐν ἑαυτῷ καὶ προεγνωσμένα καὶ ἀποτελῶν ἅπαντα, τὰ μὲν ὡς ἀγαθός, τὰ δὲ ὡς δίκαιος κριτής· ὅτι δὲ φῄς οὐ ταὐτὸν ὅρος καὶ πρόγνωσις, ἄλλο δὲ καὶ ἄλλο — ὃ γὰρ προορίζει τις τοῦτο καὶ προγινώσκει, ὃ δὲ προγινώσκει, οὐ πάντως καὶ προορίζει — σύμφημι καὶ αὐτός πρὸς ἀνθρώπου δὲ τοῦτο καὶ οὐ πρὸς τοῦ Θεοῦ· οὐ ταὐτὸν δὲ ἄνθρωπος καὶ Θεός· ἀλλὰ Θεὸς μέν ἐστιν ὁ προορίζων, τὸ δὲ προγινώσκειν ἐχαρίσατο τῶν ἀνθρώπων τοῖς προφητεύσασι· τὴν γὰρ τῆς Ἱερουσαλὴμ καταστροφὴν προώρισε μὲν ὁ Θεός, προέγνωσαν δὲ οἱ προφῆται καὶ προεκήρυττον· καὶ τῷ Ναβουχοδονόσορ παρέδειξεν ὁ Θεὸς ὅσα προώρισε περὶ τῶν ἐφεξῆς βασιλειῶν διὰ τοῦ ὁράματος· ἐνέπνευσε δὲ καὶ τῷ Δανιὴλ ἑρμηνεῦσαι αὐτῷ σαφέστερον· οὔτε δὲ Δανιὴλ οὔτε τις ἕτερος τῶν προφητῶν προώρισεν ὅσα προεγνωκὼς εἶπεν· οὐ γὰρ οἷόν τε ἀνθρώπῳ οὐδενὶ τοῦτο· εἰ γὰρ ἦν, οὐκ ἂν Ἰωνᾶς ἑαυτῷ περιέπιπτεν. ἀλλ' ὁ Θεὸς παντοδύναμος ὢν καὶ προορίζει καὶ προγινώσκει καὶ ὑπερτίθεται τὸν ὅρον, ὃν ὁρίζει, καὶ συντέμνει καὶ μεταποιεῖ πάντα μόνῳ τῷ βούλεσθαι· ἄνθρωπος δὲ ἐν μόνοις τοῖς ἰδίοις ὧν ἄρχει δύναται τοῦτο. Ἔχων γάρ τις δοῦλον ἐς νέωτα τοῦτον ἐνεστήσατο καθ' ἑαυτὸν διαπράσασθαι, τοῦ δὲ δούλου ἢ βελτιωθέντος φεισάμενος ὁ Κύριος αὐτοῦ τὴν διάπρασιν ὑπερέθετο, ἢ ἐπὶ τὸ χεῖρον προκεκοφότος καὶ πρὸ τοῦ ὡρισμένου αὐτῷ χρόνου τοῦτον διεπράσατο· ἢ οὐδὲ τοῦτο συγχωρεῖς τῷ Θεῷ ὅτι ἡμεῖς πάντες ἐσμὲν αὐτοῦ δοῦλοι ἐκκείμενοι τῇ αὐτοῦ βουλήσει, ὃ πόσης ἀσεβείας ἂν εἴη. Εἰ δὲ ἡ θεία πρόγνωσις περιλαμβάνει καὶ τὸν ὅρον ὡς ἐπὶ πλέον οὖσα αὐτοῦ — ὃ γάρ τις προορίζει τοῦτο καὶ προγινώσκει, οὐ μὴν ὅπερ προγινώσκει πάντως καὶ προορίζει· διὸ καὶ καλῶς ἔχει τις κατηγορῆσαι τοῦ ὅρου τὴν πρόγνωσιν, οὐχ οὕτω δὲ καὶ τῆς προγνώσεως τὸν ὅρον ὥσπερ καὶ τοῦ ἀνθρώπου τὸ ζῶον, οὐ μὴν τοῦ ζώου τὸν ἄνθρωπον — τί θαυμαστὸν εἰ ἐν τῷ Θεῷ ἔχοντι ἀναντιρρήτως τὴν ἐπὶ πλέον οὖσαν τοῦ ὅρου τὴν πρόγνωσιν ὡς περιληπτικὴν αὐτοῦ, ταὐτόν ἐστιν ὅρος καὶ πρόγνωσις καὶ ἡ πρόγνωσίς ἐστιν ὅρος ἐν τῷ Θεῷ καὶ ὁ ὅρος πρόγνωσις, οὐ μόνον ἐπὶ ζωῆς καὶ θανάτου τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ πάντων ἁπλῶς· συνῆκας τὸ αἴνιγμα;

**Μύστης.** Καὶ τοίνυν οὐκ ἄπο τοῦ θείου σκοποῦ οὐδὲ τοῦτο, ὡς οἱ ἀποδράντες ὅθεν νόσοι θανατηφόροι εἰσὶν ῥύονται τοῦ θανάτου μηδενὸς ἑτέρου ἀλλ' αὐτοῦ

τοῦ Θεοῦ προορίζοντος καὶ προγινώσκοντος τὸν καιρὸν τῆς τελευτῆς ἑκάστου τῶν ἀνθρώπων καὶ ποτὲ μὲν καὶ ὑπερτιθεμένου τὸν ὅρον, ἔστι δ' ὅτε καὶ συντέμνοντος κατὰ τὴν ἰδίαν αὐτοῦ βουλήν τε καὶ κρίσιν· πάντως γὰρ καὶ τοῦτο προέγνω καὶ προώρισεν αὐτοῖς ὁ Θεὸς καὶ ἡ περὶ αὐτοὺς θεία πρόνοια οὕτω ταῦτα περὶ αὐτῶν διετάξατο· τί οὖν ἁμαρτάνουσιν οἱ τοῦτο ποιοῦντες;

**Μυσταγωγός.** Εἴρηται ἔναγχος ἡμῖν ὡς ὁ Θεὸς προνοεῖται περὶ πάντων πρὸς τὸ εἶναι καὶ ἔτι εὖ εἶναι, ἐφ' ᾧ καὶ τοῦ γινομένου τέλους τυχεῖν ἕκαστον καὶ ὡς ἡ θεία πρόγνωσις καὶ ὁ προορισμὸς οὐκ ἀναγκάζει τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου, ἢ γὰρ ἄλλως οὐκ ἦν αὐτεξούσιος· προέγνω γὰρ ὁ Θεὸς ὡς ὁ Δαυὶδ παρανομήσει ἐν τῇ Βηρσαβεέ, ἀλλ' οὐκ ἔστιν εἰπεῖν ὡς διὰ τοῦτο ἥμαρτεν ὡς ἐξ ἀνάγκης· ἦν γὰρ ἂν οὕτως ἀνέγκλητος, ὁμοίως καὶ πάντες οἱ τοιούτοις τισὶ περιπίπτοντες, ἀλλ' ἡ αὐθαίρετος ἑκάστου γνώμη ἀπορρίπτει τὸν ἄνθρωπον εἰς τὴν ἁμαρτίαν, ὁ δὲ Θεὸς ἀπέστειλε τὸν Νάθαν ἐλέγξαι τὸν Δαυὶδ περὶ τῆς ἁμαρτίας ταύτης· καὶ ὅτε τὸν λοιμὸν ἀπέστειλεν ἐπὶ τὴν στρατιὰν αὐτοῦ καὶ ἀπέθανον ἐν μικρῷ τῆς ἡμέρας διαστήματι ὀγδοήκοντα τέσσαρες χιλιάδες ἀνθρώπων, προέγνω ὁ Θεὸς καὶ τὴν ἁμαρτίαν τοῦ Δαυὶδ καὶ τὴν γενησομένην φθορὰν τῆς στρατιᾶς· παρέμενε δὲ ἵν' ὥσπερ αὐθαιρέτως τὴν ἁμαρτίαν ἐποίησεν οὕτω καὶ αὐθαιρέτως μεταγνῷ· ὁ τοίνυν Δαυὶδ εἰπὼν πρὸς Θεὸν « ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου » μὴ συντμηθῆναι δηλαδὴ τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ αἰτῶν διὰ τὰ ἐπταισμένα αὐτῷ καὶ εἰδὼς ἀκριβῶς ὅτι καὶ προεγνωσμένος καὶ προωρισμένος τῷ Θεῷ ἐστι καὶ ὁ ἀριθμὸς τῶν ἡμερῶν τῆς ζωῆς αὐτοῦ καὶ τοῦ θανάτου ὁ καιρός, ἐν συναισθήσει τῆς ἁμαρτίας αὐτοῦ γεγονὼς καὶ πρῶτον καὶ δεύτερον οὐκ ἀπέδρα ἐν ἀλλοδαπῇ χώρᾳ ἵνα τὸν θάνατον ἐκφύγῃ, ἀλλ' ἐπὶ μὲν τοῦ Νάθαν τοῦ θρόνου ἐξαναστὰς καὶ τῇ γῇ προσερείσας τὴν κεφαλὴν πρὸ ποδῶν τοῦ προφήτου τὴν ἁμαρτίαν δημοσιεύσας καὶ μετανοίας χρησάμενος ῥήμασι τὸν θάνατον ἐξέφυγε· καὶ ἐπὶ τοῦ λοιμοῦ τοῦ τὸν στρατὸν αὐτοῦ λυμαινομένου, οὐ τοὺς ὑπολοίπους τοῦ στρατοῦ λαβὼν καὶ φυγὰς γενόμενός που διεσώθη, ἀλλ' ἐν σάκκῳ καὶ σποδῷ γνησίως μετανοήσας τὴν τοῦ Θεοῦ εὐμένειαν ἐπεσπάσατο· ὁμοίως καὶ Ἐζεκίας κατακαμπτόμενος τῷ σιδηρῷ κλωβῷ καὶ συνεσπειρωμένως κείμενος ἐν αὐτῷ καὶ μὴ ἔχων ἄνεσιν κἂν πρὸς βραχὺ τὴν κεφαλὴν ἀνανεῦσαι εἰς ἔννοιαν ὅμως ἐλθὼν τῶν ἀνομιῶν αὐτοῦ οὕτως ἔχων, τὸ δὲ τῆς καρδίας αὐτοῦ γόνυ κλίνας, ἐν συντριβῇ τε ψυχῆς καὶ πνεύματι ταπεινώσεως μεταγνοὺς ἐφ' οἷς ἥμαρτεν εἰς Θεὸν καὶ ἐξομολογησάμενος αὐτῷ, δεηθείς τε καὶ ἱκετεύσας συγγνώμης ἔτυχε καὶ προσθήκην ζωῆς εἴληφε ἐτῶν δέκα πέντε ὡς πρὸ τούτου πάντως ὡρισμένου τοῦ θανεῖν αὐτόν· οὕτως ἀπώνατο τῆς ἐπ' αὐτὸν τοῦ Θεοῦ ἀγανακτήσεως ἀφ' ἧς τοῖς δεινοῖς ἐκείνοις περιπέπτωκε κατανοήσας τὴν αἰτίαν δι' ἣν ἐπειράθη τῆς τοῦ Θεοῦ ὀργῆς καὶ ἀρίστῃ χρησάμενος οἰκονομίᾳ τῇ μετανοίᾳ ἢ τὸν Θεὸν ἱλεώσατο. Τούτων τοίνυν καὶ τῶν τοιούτων ὁ Θεὸς προέγνω καὶ τὰ ἁμαρτήματα καὶ τὰς προσηκούσας αὐτοῖς ποινὰς εἰ μὴ μεταγνοῖεν, οὐ μὴν διὰ τὴν τοῦ Θεοῦ πρόγνωσιν καὶ ἀθῷοι γεγένηνται ἐφ' οἷς ἥμαρτον εἰμὴ διὰ τῆς μετανοίας. Καὶ τί δεῖ πολλὰ λέγειν; τὸ διὰ σταυροῦ πάθος τοῦ Σωτῆρος καὶ ἡ τοῦ προδότου τόλμα προέγνωστο καὶ προώριστο τῷ Θεῷ πρὸ καταβολῆς κόσμου, οἱ δὲ ταῦτα ὕστερον καταπραξάμενοι οὐκ ὤφθησαν ἀνεύθυνοι· Καὶ οὗτοι τοίνυν οἱ τὴν θείαν πρόνοιαν καὶ τὴν τῶν πάντων κυβέρνησιν ἀθετοῦντες τοῦ Θεοῦ, ἀνέμοις δὲ καταφεύγοντες ὑπεύθυνοι πάντως εἰσὶ τῆς εἰς Θεὸν βλασφημίας ἀφ' ἑαυτῶν εἰς τοῦτο κινούμενοι καὶ οὐκ ἀθωωθήσονται τῷ προεγνωκέναι τὸν Θεὸν τὸ πονηρὸν αὐτῶν ἔργον. Εἰ δὲ Λὼτ ἔφευγεν εἰς Ζηγὼρ ἅμα γυναικὶ τὴν ἐπὶ τοὺς ἐν Σοδόμοις ὀργὴν Κυρίου ἐκκλίνων ἀλλὰ θείᾳ κελεύσει τοῦτο ἐποίει, ὅτι μὴ κατ' ἐκείνους ἦν· εἶχε δὲ καί τινα μυστικωτέραν διδασκαλίαν ἡ θεία ἐκείνη πρόσταξις. Τί δ' ἄν τις καταλέγοι τοὺς πεπειραμένους κατὰ καιροὺς θείας ὀργῆς καὶ ἐπεγνωκότας τὰ σφῶν αὐτῶν πλημμελήματα καὶ μήτε φυγῆς χρησαμένους μήτε ἄλλαις τισὶ μεθόδοις ἐξ ἀνθρωπίνων λογισμῶν γινομέναις, ἐπὶ δὲ τῷ Θεῷ μόνῳ τὴν ἐλπίδα προσερείσαντας πᾶσαν καὶ προσπεφευγότας αὐτῷ ἐξ οὗ καὶ τῶν ἐπηρτημένων αὐτοῖς κινδύνων διεσώθησαν. Δεῖ τοίνυν καὶ ἡμᾶς τοῖς παραδείγμασι τούτοις χρωμένους, ἐνσκήψαντος λοιμοῦ ὀργὴν Κυρίου μηνύοντος ἡμῖν διὰ τὰς ἁμαρτίας ἡμῶν, κατὰ τοὺς πάλαι εὐδοκιμήσαντας ἐν τοῖς τοιούτοις ποιεῖν καὶ τὰ ὅμοια τῷ Θεῷ ἱλαστήρια προσάγειν· καὶ νοσῶν γάρ τις εὐποιήσει τὰ εὐδοκιμηκότα ἐκ πολλοῦ φάρμακα ἐν ταῖς ὁμοίαις νόσοις ἐπιζητῶν καὶ τούτοις χρώμενος τοῖς πείρᾳ τὴν σφῶν αὐτῶν θεραπευτικὴν δύναμιν ἀποδείξασι, μήποτε καινότερα ἐπινοῶν ἀντὶ ἰασίμων εὑρεθῇ θανασίμοις χρησάμενος· ὥστε τὸ φεύγειν οὐκ ἔστιν ἀνθρώπων φοβουμένων τὸν Κύριον καὶ προῃρημένων ἐν ταῖς ἐντολαῖς αὐτοῦ βαδίζειν, καταφρονούντων δὲ μᾶλλον αὐτοῦ καὶ ἰδίοις στοιχούντων λογισμοῖς ἐπισφαλέσι πάντως, οἷς ἡγοῦνται τὴν ὀργὴν Κυρίου ἐκφυγεῖν ἑαυτοὺς παραλογιζόμενοι· οὐ γὰρ οἷόν τε οὕτως, εἰ καὶ δοκοῦσί τινες τοῦτο κατορθοῦν προσκαίροις σκιαῖς πιστεύοντες μακροθυμοῦντος τοῦ Θεοῦ καὶ φυλάσσοντος αὐτοὺς ἐν ἡμέρᾳ πονηρᾷ πονηροὺς ὄντας καὶ γεγενημένους διακόνους τῶν κατὰ Θεοῦ ἐπινοιῶν τοῦ σοφιστοῦ τῆς κακίας ὑποθήκαις αὐτοῦ τοῦτο δρῶντες ἵνα καὶ μάρτυρες εὑρεθῶσιν αὐτῷ, ὡς ἄρα δῖνος βασιλεύει τόν δ' ἐξεληλακώς· καὶ μᾶλλον ἔχει βοηθεῖν τοῖς ἀνθρώποις, νόσων τε αὐτοὺς καὶ θανάτου ῥύεσθαι ἄνεμος ἢ ἡ τοῦ Θεοῦ δύναμις καὶ πρόνοια. μᾶλλον δὲ ὡς οὐκ ἔστι πρόνοια Θεοῦ τὰ καθ' ἡμᾶς διοικοῦσα, μήτε Θεὸν φοβούμενοι μήτε ἀνθρώπους εὐλαβούμενοι τὸ ἴδιον αὐτῶν ἀξίωμα, μέγιστον καίτοι ὄν, ἀνερυθριάστως καὶ ἀμαθῶς ἑκόντες προϊέμενοι καὶ ἀναξίους ἑαυτοὺς τῆς θείας ἐπισκέψεως καὶ φροντίδος ὁμολογοῦντες, ζῆν δὲ καὶ νοσεῖν καὶ θνήσκειν κατὰ τὰ ἄλογα τῶν ζώων, ἐξ οὗ καὶ ψόφον τὸν λοιμὸν ὀνομάζουσι καὶ διὰ τοῦτο φευκτὸν εἶναι νομοθετοῦσι. Μὴ ἀπατῶ τοίνυν ἢ αὐτὸς ἢ ὅστις οὖν ἕτερος· μέμνησο δὲ τοῦ λέγοντος· « μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ· δόξα καὶ πλοῦτος ἐν τῷ

οἴκῳ αὐτοῦ καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ». Ἄθλιος δὲ δήπου ὁ μὴ τοιοῦτος καὶ τοὐναντίον ἅπαν. Σύνες ταῦτα καὶ μὴ γραῶν κωθωζομένων ὕθλοις πιστεύων τὸν τοῦ Θεοῦ φόβον παραφαῦλον ποιοῦ.

**Μύστης.** Συνῆκα · ἐγὼ δὲ οὐ παρὰ γραῶν ἤκουσα ταῦτα, ἃ νῦν σὺ φῂς ὕθλους καὶ λήρήματα, θεοσόφων δὲ ἀνδρῶν ἐνέτυχον συγγράμμασι μεταδοτικὸν εἶναι νόσου τὸν λοιμὸν ἀποφαινομένοις · τίσι δ' ἂν μᾶλλον μεταδώσειε τοῦ κακοῦ ἢ τοῖς πλησίοις, ὥστ' ἀκίνδυνον τοῖς μακρύνουσι.

**Μυσταγωγός.** Ὁρᾷς τὸν κατὰ τοῦ Θεοῦ καὶ τῆς ἀληθείας δόλον τοῦ σατανᾶ; πᾶς ὁ συρράψαι θέλων τὸ ψεῦδος οὐ δύναται ἄλλως πως εὐπρόσωπον τοῦτο κατασκευάσαι, εἰμὴ καὶ ἴχνος τι ἀληθείας οἷόν τε θεμέλιον προϋποθῇ · καὶ αὐτὸς τοίνυν ἀεὶ τῇ τοῦ Θεοῦ ἀνθιστάμενος δόξῃ καὶ πολεμῶν ἐθέλων κολούειν (;) τὴν αὐτοῦ μεγαλειότητα καὶ τὰς εὐσεβεῖς περὶ αὐτοῦ ἐννοίας ἐκβάλλειν τῶν ἀνθρωπίνων ψυχῶν, τὸ ψεῦδος τοῦτο συνέπλασε καὶ φεύγειν τοὺς ἀνθρώπους ἀνέπεισε πιστεύοντας οὕτως ἐκφυγεῖν τὸν θάνατον · οὐ γὰρ ἵνα μὴ νοσήσωμεν μακρύνομεν φασίν, ἀλλ' ἵνα μὴ ἀποθάνωμεν, ἀπὸ μιᾶς προτάσεως ἀληθοῦς τὸ ψεῦδος συμπεραίνοντες · μεταδοτικὸν γὰρ νόσου τὸν λοιμὸν ἐδόξασαν οἱ θεόσοφοι ἄνδρες ἐκεῖνοι, οὓς εἴρηκας, οἶδα κἀγὼ καὶ τοὺς εἰρηκότας καὶ ὅπως τοῦτο φασίν · οὐδεὶς γὰρ τὸν λοιμὸν μεταδοτικὸν θανάτου ἀπεφήνατο, ἀλλὰ τῆς ἑαυτοῦ κακίας ἴσως · οὐ θάνατος δὲ ὁ λοιμὸς οὐδ' ἐξ ἀνάγκης ἐστὶν ἐργάτης θανάτου · καὶ τὸ μεταδοτικὸν αὐτῷ τῆς νόσου ἐπὶ μέρους ἐστίν, εἰ καὶ ὡς καθόλου τοῖς πατράσιν εἴρηται · οὐ γὰρ πᾶσι τοῖς τὸν λοιμώδη σπῶσιν ἀέρα μεταδίδωσι τοῦ κακοῦ, ἀλλὰ τισί · καὶ τοῦτο δῆλόν ἐστιν ἐκ πολλῶν · ἔθος δὲ τοῦτο τῇ τε ἱερᾷ Γραφῇ καὶ τισι τῶν πατέρων μερικά τινα ὑπάρχοντα ἁπλῶς καὶ ἀορίστως λέγειν ὡς δοκεῖ λέγεσθαι καθόλου, ὥς πού φησιν ὁ Σωτὴρ · « ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει » · πολλοὶ τοίνυν ἐπίστευσαν εἰς αὐτὸν ἀδιστάκτως, ὀλίγοι δὲ θεῖα ἔργα εἰργάσαντο · ἐῶ λέγειν ὅτι οὐδεὶς μείζονα. Καὶ ὁ Παῦλος Κορινθίοις ἐπιστέλλων φησίν · « ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ », καίτοι γε οὐ πάντες ἐκ τοῦ Θεοῦ ἦσαν · πολλοὶ γὰρ ἦσαν τοιοῦτοι πρὸς οὓς ἀλλαχοῦ φησιν « ἔτι σαρκικοί ἐστε καὶ κατ' ἄνθρωπον περιπατεῖτε ». Καὶ ὁ Σολομῶν « πλοῦτος καὶ πενία παρὰ Θεοῦ ἐστιν » · ἀλλ' οὐ πᾶς πλοῦτος οὐδὲ πᾶσα πενία · καὶ πολλὰ τοιαῦθ' ἕτερα εὑρήσει τις παρὰ τῇ Γραφῇ. Οὕτω καὶ τὸν λοιμὸν μεταδοτικὸν τῆς ἑαυτοῦ κακίας εἶπον οἱ πατέρες ἐκεῖνοι, οὐ θανάτου · καὶ τῆς νόσου δὲ αὐτῆς οὐ καθόλου οὐδὲ ἀναγκαίως. Ὁρῶμεν γὰρ τῶν εὑρισκομένων ἔνθα λοιμὸς πλείους τοὺς ἀνόσους διατηρηθέντας μηδὲ θανόντας καὶ τῶν ἀποδράντων πολλοὺς νοσήσαντας, μὴ θανόντας δέ, ἐνίους δὲ θανόντας ὥστε ἄδηλον τὸ εἰ μὴ ἀποδράσειεν νοσήσουσιν ἢ τεθνήξονται.

**Μύστης.** Ἐπειδήπερ, ὦ μυσταγωγέ, τῶν ὡς καθόλου τισιν εἰρημένων ἐμνήσθης ἐπὶ μέρους ὄντων ἐρωτῶ σε, ἀναμεινάτω μὲν ὁ περὶ οὗ ἐλέγομεν λόγος, διασάφησόν μοι δὲ τὴν περὶ τούτων · ἐνέτυχον γὰρ συγγράμματι τοῦ μακαριωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου τῆς Ἐφεσίων ἁγιωτάτης μητροπόλεως κυροῦ Μάρκου περὶ ὅρων ζωῆς αὐτῷ πονηθέντι, οὗ τὸ κλέος ὅσον ἔν τε θείᾳ σοφίᾳ καὶ ἀνθρωπίνῃ, καὶ ὡς προὔστη τῶν τῆς ὀρθοδόξου ἐκκλησίας δογμάτων ὡς καθολικὸς ἀνηγορευμένος διδάσκαλος ἔν τε Ἰταλίᾳ καὶ πανταχοῦ οὐδεὶς ἀγνοεῖ · οὗτος τοίνυν ἐν ἐκείνῳ τῷ συγγράμματι προστησάμενος ἀποδεῖξαι ὡς οὐ πᾶσι τοῖς ἀνθρώποις ὥρισται τὸ τέλος τῆς ζωῆς καὶ ὁ καιρὸς τοῦ θανάτου αὐτοῦ παρὰ τῷ Θεῷ, μόνοις δὲ τοῖς δικαίοις καὶ τῷ Θεῷ φίλοις, ἑτέροις δὲ τοῖς μὴ τοιούτοις μάλα τεθαρρηκότως ἀποφαινόμενος ὡς ἀοριστότατά εἰσι ταῦτα, εἰς μνείαν ἐλθὼν καὶ τῆς ῥήσεως ταύτης τοῦ μεγάλου πατρὸς Βασιλείου ὅτι « θάνατοι ἐπάγονται τοῖς ἀνθρώποις [τῶν ὅρων] τῆς ζωῆς πληρωθέντων », ἐπὶ μέρους εἶναί φησιν εἰ καὶ τῶν ἁπλῶς εἰρῆσθαι καὶ ἀορίστως καθόλου δοκεῖ καὶ ἅς περ αὐτὸς εἴρηκας χρήσεις ἔκ τε τοῦ ἱεροῦ εὐαγγελίου καὶ τοῦ θείου ἀποστόλου καὶ τοῦ Σολομῶντος εἰς παράστασιν ἄγει τούτου · τί οὖν πρὸς τοῦτο ἐροῦμεν;

**Μυσταγωγός.** Ὁ θαυμάσιος οὗτος πατὴρ καὶ μέγας διδάσκαλος, ὁ μακαριώτατος κὺρ Μάρκος ὁ Ἐφέσου πολὺς ἦν τῷ ὄντι ἔν τε σοφίᾳ καὶ ἀρετῇ καὶ τῇ πείρᾳ τῶν τῆς ἐκκλησίας δογμάτων καὶ τῶν νῦν δὲ εἰρημένων μοι ἐν τῷ ζητήματι τούτῳ τὰ πλεῖστα ἐκ τοῦ τοιούτου συγγράμματος ἀναλεξαμένῳ μοι λέλεκται πολλὰ καὶ αὐταῖς λέξεσιν. Οὐ γὰρ αἰσχύνομαι τοῖς ἐκείνου σοφωτάτοις ῥήμασιν ὡραϊζόμενος, ἰδίως κἀμοὶ διδασκάλου τυγχάνοντος καὶ καθ' αἷμά μοι προσήκοντος. Οὗτος τοίνυν τοῦ μακαρίου πατρὸς κυροῦ Ἰσιδώρου, τοῦ καὶ ἐς ὕστερον τὸν πατριαρχικὸν ἰθύναντος θρόνον, λόγον αἰτήσαντος περὶ τοῦ ζητήματος τούτου, ἐντυχὼν τοῖς ῥηθεῖσι τῷ ἁγίῳ Ἀναστασίῳ τῷ Σιναΐτῃ περὶ αὐτοῦ, μήπω τινὸς ἑτέρου τῶν ἐπιφανῶν τῆς ἐκκλησίας διδασκάλων προὔργου τε καὶ εἰς πλάτος περὶ αὐτοῦ εἰρηκότος, συνέθετο ἐκείνοις εὐλάβειαν ἀπονέμων τῷ πατρὶ τὴν κατὰ Θεὸν πολιτείαν ἀρίστως ἠσκηκότι, ὀρεσιτρόφῳ τ' ἀναχωρητῇ καὶ ἀνακεχηρυγμένῳ ἁγίῳ τυγχάνοντι, τῷ τοι καὶ ἐξέθετο πρὸς τὸν αἰτήσαντα τὸν λόγον ὡς ἐτετύπωτο ἀπὸ τῶν τοῦ ἁγίου Ἀναστασίου λόγων · προκατείληπτο γὰρ αὐτοῖς · συνησήνεγκέ τε καὶ αὐτὸς οἴκοθεν ἐπιστασίαν τινα · ἐπεὶ δὲ καὶ ἀπὸ τῶν περιωνύμων διδασκάλων καὶ θεολόγων μαρτυρίαις εἰς σύστασιν τοῦ λόγου χρήσασθαι ἐχρῆν ἠναγκάσθη ἑλκύσαι ταῦτα πρὸς τὰ τοῦ Ἀναστασίου · φαίνεται δὲ ὅτι συνηρπάγη τοῖς τοῦ Ἀναστασίου λόγοις, οὓς οὐδ' ἐκεῖνος σὺν ἀκριβεστέρᾳ διασκέψει φθάσας εἰρήκει, ἀλλ' ὡς ἐν παρόδῳ πυθομένου τινὸς καὶ ἀμελετήτως ἀποκρινάμενος καὶ πρὸ τοῦ καλῶς ἐπισκέψασθαι τὸ βάθος τῆς διανοίας τῶν εἰρημένων ὁ μακαριώτατος πατὴρ ὁ Ἐφέσου ἀναγκασθεὶς ἀποδοῦναι λόγον τῷ Ἰσιδώρῳ εἴρηκε ταῦτα, ἅπερ οὔτε ὡς δόξαν τῆς ἐκκλησίας κεκυρωμένην παραδέδωκεν οὔτε τὸ σύγγραμμα ἐκεῖνο κοινὸν τῇ ἐκκλη-

σία προυτεθήκει ἵνα κηρύττηται καὶ στέργηται, ἀλλὰ τῷ Ἰσιδώρῳ μόνῳ ἰδίως τήν τε τοῦ Ἀναστασίου γνώμην καὶ ὅσον ἀφ' ἑαυτοῦ συνεισήνεγκε παρέσχετο· ἐβιάσατο δὲ καί τινα τρόπον τὴν ῥῆσιν τοῦ μεγάλου Βασιλείου ὡς μείζονος διδασκάλου ἐπὶ τὸ συμφωνῆσαι τῇ τοῦ Ἀναστασίου ἀποφάσει. Ἀλλὰ τὰ μὲν τῆς ῥήσεως ταύτης καὶ τῆς ἐξηγήσεως αὐτῆς μικρὸν ἀναβεβλήσθω· νῦν δὲ ἔξω τιθέντες αἰτίας τὸν μακαριώτατον πατέρα καὶ διδάσκαλον τὸν Ἐφέσου, οὗ τὸ κλέος πολὺ καὶ αἰδέσιμον καὶ ἡ ὀφειλομένη αὐτῷ παρ' ἡμῶν εὐλάβεια, λέγομεν οὕτως· οὐ χρὴ θαυμάζειν περὶ τοῦ μακαριωτάτου τοῦδε πατρὸς ἐπὶ τούτῳ· ἐπεὶ καὶ ἕτερος πρὸ αὐτοῦ μέγας διδάσκαλος καὶ πατὴρ Γρηγόριος ὁ Νύσσης συνηρπάγη τῷ δόγματι τοῦ Ὠριγένους τῷ περὶ τῆς ἀποκαταστάσεως τῆς κολάσεως τῶν ἁμαρτωλῶν καὶ αὐτοῦ [τοῦ] διαβόλου· ἀλλ' οἱ ἐφεξῆς διδάσκαλοι καὶ ἡ καθολικὴ ἐκκλησία κατεψηφίσαντο μὲν τῶν Ὠριγενειακῶν οἷς εἵποντο καὶ τὰ τοῦ Νύσσης ἐν τῷ λόγῳ τούτῳ τῆς ἀποκαταστάσεως δίκην αἱρέσεως, τῷ δὲ θαυμαστῷ Γρηγορίῳ συνέγνωσαν ὡς ἀπερισκέπτως ἐκείνοις συναρπασθέντι, ἔτι ἀκρίτοις οὖσι καὶ ἀνεξετάστοις παρὰ τῆς ἐκκλησίας, καὶ ἐς δεῦρο τῷ τῶν διδασκάλων συντάττουσι χορῷ καὶ τῶν ἐκκρίτων καὶ πρώτων καὶ τὴν προσήκουσαν τιμὴν καὶ εὐλάβειαν αὐτῷ ἡ Ἐκκλησία ἀποδίδωσι πᾶσα ἅγιον δοξάζουσα καὶ ἀνακηρύττουσα τοῦτον. Τοῦτο καὶ ἄλλοις τισὶ τῶν ἁγίων καὶ διδασκάλων συνέβη· ὁ δὲ μακάριος Ἐφέσου οὔτε αἱρετικῷ τινι οὔτε ἀλλοκότοις καὶ παραλόγοις τισὶ δόγμασι συνέθετο λυμαινομένοις τὴν ὑγιᾶ διδασκαλίαν τῆς ἱερᾶς ἐκκλησίας ἐπὶ πολύ, οὐδὲ ὡς κήρυγμα ἐκκλησιαστικὸν παραδέδωκεν, ἀλλὰ τῷ ἱερῷ Ἰσιδώρῳ μόνῳ ἀνακεκηρυγμένου ἁγίου γνώμην παρέθετο μετά τινος ἰδίας ἐπιστασίας καὶ οὐδεὶς ἂν ἔχοι τοῦτον ἀπώσασθαι τοῦ χοροῦ τῶν μεγάλων διδασκάλων καὶ θεολόγων κατ' οὐδὲν ἀποδέοντα ἐκείνων, οὔτε τὸν Ἀναστάσιον τοῦ τῶν ἁγίων τάγματος. Μετὰ δὲ ταῦτα ὁ μακαριώτατος καὶ μέγας πατὴρ καὶ διδάσκαλος πατριάρχης Κωνσταντινουπόλεως κύρις Γεννάδιος σοφώτατος ὢν καὶ θεολογικώτατος καὶ παρὰ πάντων ἔχων τὸ συγκεχωρηκὸς καὶ μηδενὶ παραχωρεῖν τοῦ πρωτείου μήτε τῶν πάλαι μήτε τῶν νῦν, σύγγραμμα καὶ αὐτὸς ἐξέθετο περὶ θείας Προνοίας καὶ προορισμοῦ τὴν ἐπιγραφὴν ἔχον, ἐν ᾧ λεπτοῖς νοήμασι καὶ σοφωτέραις ἀποδείξεσιν ἐπιστημονικαῖς τε καὶ ἀπὸ τῶν ἱερῶν εἰλημμέναις Γραφῶν καὶ ἀπ' αὐτῶν τῶν τῆς εὐσεβοῦς πίστεως ἀρχῶν παρίστησι σαφῶς ὡς ἡ θεία πρόνοια πάντα διοικεῖ τὰ ὄντα καὶ προέγνω καὶ προεῖδε καὶ προώρισε πάντα καὶ κυβερνᾷ καὶ διεξάγει καὶ τὰ τῶν πονηρῶν καὶ τὰ τῶν ἀγαθῶν, εὐσεβῶν τε καὶ ἀσεβῶν καὶ πάντων τῶν ὄντων ἁπλῶς καὶ οὐδέν ἐστι τῶν ὄντων ἢ τῶν γινομένων ἢ τῶν γενησομένων ὃ μὴ προέγνωστο καὶ προώριστο τῷ Θεῷ κατὰ τοὺς ποικίλους καὶ πολυειδεῖς τῆς αὐτοῦ προνοίας λόγους, τὰ μὲν ἀγαθὰ τοῖς ἀγαθοῖς προξενῶν κατὰ τὴν αὐτοῦ εὐδοκίαν καὶ ἀγαθὴν βούλησιν, τὰ δὲ πονηρὰ τοῖς πονηροῖς κατὰ τὴν ἑκάστου τούτων αὐτεξούσιον καὶ προαιρετικὴν κυβέρνησιν καὶ οἰκονομίαν τῆς ἰδίας αὐτοῦ βιωτῆς, ἐν ἅπασι συμφθεγγόμενος τοῖς ῥηθεῖσι μεγάλοις διδασκάλοις, Βασιλείῳ τε καὶ τοῖς λοιποῖς, καὶ ὁ ἐντυχὼν τῷ τοιούτῳ συγγράμματι εἴσεται καλῶς ὃ λέγω· οὗ τοῖς πλείστοις ἐχρησάμην καὶ αὐτὸς νῦν ἐν τοῖς παροῦσι λόγοις, ὥσπερ καὶ τοῖς τοῦ Ἐφέσου, μὴ δεδιὼς τὸ ὄνειδος τοῦ τῆς παροιμίας κολοιοῦ· οὐ γὰρ ἀρνοῦμαι ὅτι ὡραΐζομαι τοῖς ἐκείνων σοφωτάτων ὄντων καὶ ἀμφοῖν διδασκάλων τε καὶ προμάχων τῶν τῆς ἐκκλησίας δογμάτων. Οὔκουν οὔτε ὁ ἐν ἁγίοις Ἀναστάσιος οὔτε ὅστις οὖν ἕτερος δύναιτ' ἂν ἀρνήσασθαι τὸ προνοητικὸν τοῦ Θεοῦ, τό τε προβλεπτικὸν καὶ παντοδύναμον· καὶ αὐτὸς γὰρ ὁ μακάριος Ἐφέσου περὶ τοῦ ἁγίου Ἀναστασίου μαρτυρεῖ φάσκων ὅτι προνοητικὸν εἶναι πάντων τὸν Θεὸν καὶ δυνάμενον παντα μεταποιεῖν, ὅπως ἂν βούληται, καὶ σφόδρα ὁμολογεῖ, ἐπιτρέποντα δὲ ὅμως ἕκαστα τῇ τε φύσει καὶ τῇ προαιρέσει. Καὶ αὖθις· λέγεται δὲ παρὰ τοῦ Θεοῦ ἑκάστῳ πρὸς τὸ συμφέρον ἐπάγεσθαι τὸν θάνατον δηλονότι, οὐ τῷ παρ' αὐτοῦ μόνον τὴν φύσιν εἶναι καθεσταμένην, ἀλλὰ καὶ τῷ παρακολουθοῦσαν ἐν πᾶσι τὴν θείαν πρόνοιαν καὶ συνειδυῖάν γε μὴ κωλύειν ἀλλ' ἐπιτρέπειν τῇ φύσει τὰ ἑαυτῆς ποιεῖν. Καὶ Ἀναστάσιος τοίνυν καὶ πᾶς ὁστισοῦν ἕτερος ὁμολογῶν τὸν Θεὸν δημιουργὸν τῆς φύσεως καὶ πάντων τῶν ἄλλων, παροχέα τε τούτοις δυνάμεως ποιεῖν τὰ ἑαυτῶν, πῶς ἂν ἀρνήσαιντο ὅτι αὐτὸς ὁ Θεὸς ποιεῖ πάντα ὡς δι' ὀργάνων ἐκείνων· εἰ γὰρ μὴ τοῦτο ἦν, οὐδ' οἷός τ' ἂν ἦν μεταποιεῖν, ἀλλὰ πάντες ὁμολογοῦσιν ὅτι δύναται καὶ μεταποιεῖν ἅπαντα μόνῳ τῷ βούλεσθαι, ὥστε αὐτός ἐστι κύριος καὶ τοῦ ποιεῖν ὁ καὶ μεταποιῶν· ἕως οὖν ταῦτα ὁμολογοῦσι, τῷ γε νῷ συνᾴδουσι τοῖς τὴν πρόγνωσιν καὶ τὸν ὅρον πρεσβεύουσιν ἁγίοις διδασκάλοις καὶ τὴν αἰτίαν ἁπλῶς ἁπάντων τῷ Θεῷ προσμαρτυροῦσιν, εἰ καὶ τῇ τῶν λέξεων προφορᾷ διηνέχθαι δοκοῦσιν, ἐξ ἧς δ' ἂν εἴη ῥητέον ἡμῖν ὅπως ἡ χρῆσις τοῦ μεγάλου Βασιλείου ἡ φάσκουσα «θάνατοι δὲ ἐπάγονται τοῖς ἀνθρώποις τῶν ὅρων τῆς ζωῆς πληρωθέντων», ὡς καθόλου εἴρηται τῷ διδασκάλῳ καὶ οὐκ ἐπὶ μέρους. Ἐμοὶ τοίνυν δοκεῖ τὰ τοιαῦτα τῶν ῥητῶν τότε ἂν κριθεῖεν ὀρθῶς οὕτως ἔχειν ἢ οὕτως, ὅταν ἀπὸ τῶν πραγμάτων μαρτυρῶνται ὡς καθόλου εἶναι ἢ ἐπὶ μέρους· καὶ δὴ ἐν τῇ εὐαγγελικῇ χρήσει ἐὰν πάντας τοὺς εἰς Χριστὸν πιστεύοντας ἔχει τις εἰπεῖν καὶ θεῖα ἔργα ποιοῦντας καὶ μείζονα τῶν ἐκείνου, καθόλου ἂν εἴποιμεν εἰρῆσθαι τὴν χρῆσιν· εἰ δὲ μὴ πάντας ἀλλὰ τινὰς ἐπὶ μέρους, εὔδηλον οὖν ὡς οὐ πάντες τῷ Θεῷ ἀνήκοντα ἔργα ποιοῦσιν· ἐπὶ μέρους ἄρα ἐστίν, εἰ καὶ ὡς καθόλου εἴρηται. Οὕτως ἔχειν μοι δοκεῖ καὶ τὸ ἀποστολικόν· αὐτὸς γὰρ ὁ μακάριος ἀπόστολος ἁπλῶς οὕτως εἰπὼν «ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ» ἤγουν τοῦ Θεοῦ, ἀλλαχοῦ αὐτοὺς διαστέλλει λέγων· «ὅτι σαρκικοί ἐστε καὶ κατ' ἄνθρωπον περιπατεῖτε»· καὶ ἄμφω ἐπὶ μέρους ὄντα καθολικῶς εἰπών· οὔτε γὰρ πάντες ἦσαν σαρκικοί, ἀλλὰ καὶ θεῖοί τινες, οἷς εἶπε τὸ «ἐκ Θεοῦ ἐστέ», οὔτε πάντες θεῖοι ἀλλὰ καὶ σαρκικοί, οἷς τὸ «κατὰ ἄνθρωπον περιπατεῖτε» ἀπεφήνατο· ὁμοίως καὶ τὸ τοῦ Σολομῶντος οὐ πᾶς πλοῦτος οὐδὲ πᾶσα πενία παρὰ Θεοῦ, ἀλλὰ καὶ ἐξ ἑτέρων τρόπων ἀνοσίων·

τὸ δὲ τοῦ μεγάλου Βασιλείου οὐκ ἔστιν οὕτως ἔχον· εἶχε γὰρ ἂν οὕτως, εἰ τισὶ μὲν τῶν ἀνθρώπων ἐπήγετο ὁ θάνατος, τισὶ δ' οὔ· ἀλλ' ἐπειδὴ πᾶσι τοῖς ἀνθρώποις καθολικῶς ἐπείγονται οἱ θάνατοι καὶ πάντων τῶν ἀνθρώπων δήπου τελειοῦνται οἱ ὅροι τῆς ζωῆς ἐν τῷ ἀποθνήσκειν ἕκαστον, καθόλου τοίνυν ἐστὶ καὶ εἴρηται ἡ χρῆσις καὶ πᾶσιν ἁπλῶς τοῖς ἀνθρώποις ὅρος ζωῆς εἶναι ἀποφαίνεται ὁ διδάσκαλος, ὃ καὶ ἀλλαχοῦ βεβαιοῖ λέγων πρὸς Θεόν· « ὁ χρόνους μετρῶν τοῖς ζῶσι καὶ καιροὺς ἱστῶν θανάτου ». Οὐ γὰρ καὶ τοῦτο τολμήσειέ τις εἰπεῖν ὡς ἐπὶ μέρους ἐστί· πάντες γὰρ ὅσοι ζῶσιν ἀποθνήσκουσιν· ὥστε καὶ πᾶσι καθολικῶς ἱστῶνται καὶ ὁρίζονται οἱ καιροὶ τοῦ θανάτου· καθολικῶς ἄρα εἴρηκε τοῦτο ὥσπερ κἀκεῖνο ὁ διδάσκαλος, ἅπερ ἔφθη μαθὼν ἀπό τε τῆς ἱερᾶς εὐαγγελικῆς διδασκαλίας, ἔκ τε τῆς παραβολῆς τῆς συκῆς καὶ τῶν ἄλλων καὶ ἀπὸ τῶν ἔργων τῶν ἱερῶν ἀποστόλων καὶ ἀπὸ τῶν προσηκόντων τῇ εὐσεβεῖ πίστει λόγων. Τούτῳ οὖν οὕτω γνώμης ἔχοντι συνᾴδουσι καὶ οἱ λοιποὶ τῆς ἐκκλησίας διδάσκαλοι, ἔτι τε καὶ ὁ ἐν ἁγίοις Ἀναστάσιος κατά γε τὸν νοῦν, εἰ καὶ τοῖς ῥήμασιν ἀπᾴδειν δοκεῖ. Ἀλλ' ἑτέραν τοῦ οὐρανοφάντορος χρῆσιν ἐπισκεψώμεθα καθολικῶς μὲν εἰρημένην αὐτῷ, ἐπὶ μέρους δὲ οὖσαν, ἣν περὶ τῆς φύσεως τοῦ λοιμοῦ ἐν τῇ ἐξηγήσει τοῦ Δαυιτικοῦ ῥητοῦ τοῦ « ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθησε » ἐφυσιολόγησεν· ἔχει δὲ οὕτω· « φασὶ τὸν λοιμὸν οἱ περὶ ταῦτα δεινοί, ἐπειδὰν ἑνὸς ἀνθρώπου ἢ κτήνους ἅψηται, κατὰ διάδοσιν πάντας τοὺς ἐγγίζοντας διανέμεσθαι· φύσιν γὰρ εἶναι τῆς νόσου τοιαύτην τὸ ἐξ ἀλλήλων πάντας ἀναπίμπλασθαι τῆς ἀρρωστίας »· οὕτω μὲν οὖν ὁ ἱεροφάντης· ἕτερος δὲ διδάσκαλος, Κοσμᾶς ὁ ποιητὴς « ὡς λοίμη τῆς νόσου μετέδωκε » φησί. Μέμνησο οὖν ὧν ἔφθη εἰπὼν ὅτι νόσου καὶ ἀρρωστίας ἔφασαν οἱ διδάσκαλοι τὸν λοιμὸν μεταδοτικόν, οὐ θανάτου· παραλογίζεται δὲ ὁ θανάτου τοῦτον ἀποφαινόμενος· καὶ ἐπὶ μέρους ὄντος τοῦ πράγματος, καθολικῶς τὸν περὶ τούτου λόγον ποιεῖται ὁ οὐρανοφάντωρ ἔθει χρησίμῳ τῇ ἠθικῇ διδασκαλίᾳ ἐπαίρειν βουλομένῃ τὴν κακίαν τοῦ φευκτοῦ ἵνα ῥᾶον πάντες πεισθῶσιν προτροπάδειν φεύγειν αὐτό· διὰ τούτου γὰρ πᾶσιν ἠπείλησε τό, φύσιν τῆς νόσου εἶναι διανέμεσθαι πάντας τοὺς πλησιάζοντας καὶ ἀναπιμπλᾶν ἑαυτῆς καὶ τῶν ἀνθρώπων τοὺς λοιμοὺς τοιαύτης φύσεως τιθείς, ἐφ' ᾧ καὶ φευκτοὺς εἶναι πᾶσιν ὡς λυμαιῶνας· καὶ τοῦτο μὲν ἐποίσεν ὡς διδασκάλος πρὸς τὴν τῶν πολλῶν ὠφέλειαν· ἡ νόσος γέ τοι, ὡς ἀπὸ τῶν πραγμάτων μαρτυρεῖται, οὐκ ἀναγκαίως μεταδίδοται πᾶσι τοῖς πλησιάζουσιν· ἡ πεῖρα γὰρ παριστᾷ πολλοὺς πλησιάζοντας καὶ μὴ μεταλαμβάνοντας τοῦ κακοῦ.

**Μύστης.** Οὔ μοι δοκεῖ τοῦθ' οὕτως ἔχειν· μᾶλλον γὰρ νομίζω ἀμετόχους γενέσθαι τοῦ κακοῦ τινας τῷ τυχεῖν κράσεως τῆς κατὰ σῶμα δυναμένης ἀντέχειν πρὸς τὴν νόσον· ἕτεροι δὲ κράσεως τυχόντες οἰκείως ἐχούσης πρὸς αὐτὴν ῥᾷστα μεταλαμβάνουσι ταύτης καὶ ἀποθνήσκουσι.

**Μυσταγωγός.** Καὶ τοῦτο ἀπὸ ἀνθρωπίνων διαλογισμῶν συναγόμενον οὐκ ἀνάγκη ἀληθεύειν· ἤδη γὰρ εἴπομεν ὅτι πολλοὶ καὶ τῶν ἐγγὺς καὶ τῶν μακρὰν νοσήσαντες οὐ τεθνήκασι καὶ πολλοὶ ἀφ' ἑκατέρων καὶ ἐνόσησαν καὶ ἀπέθανον· εἶτα τίς ὁ τῇ παρ' ἑκάστοις τοιᾶδε κράσει παρασχὼν ἰσχὺν οὐχ ὁ πάντων δημιουργός; τὸ γὰρ ἔτυχον ἁπλῶς εἰπεῖν οὐκ εὐσεβές, τῆς αὐτοματιστῶν νόσου μετέχον· ὁ αὐτὸς ἄρα δύναται καὶ μεταποιεῖν ὡς βούλεται, ὃς πολλοὺς τῶν ὑπεραθλούντων αὐτοῦ ἀσινεῖς διετήρησεν ἐν ταῖς ἀλλοκότοις ἐκείναις βασάνοις τὰς φύσεις μεταποιήσας καὶ ἐμπιπρωμένους οὐκ ἀφῆκε κατακαῆναι ἢ ἀποπνιγῆναι καταποντιζομένους καὶ πρὸς θηρία παραβαλλομένους τιμᾶσθαι μᾶλλον ὑπ' αὐτῶν ἢ σπαράττεσθαι παρεσκεύασεν. Ὅθεν καὶ τὸ πῦρ ἐν Βαβυλῶνι τοῖς μὲν τρισὶν ὁσίοις παισὶ δρόσος ἦν, τοῖς δὲ Χαλδαίοις πῦρ· τὸ δὲ σῶμα τοῦ Δανιὴλ ἀπρόσιτον καὶ αἰδέσιμον ταῖς ἀκμαῖς τῶν λεοντείων ὀδόντων, ἕτερα δὲ σώματα ἀθλούντων ἐν λέβησιν ἐκκαιόμενα πίσσης μεστοῖς ἀνάλωτα ἦσαν· εἰ δ' ἐν ἄλλοις ἀθλούντων σώμασιν ὤφθησαν τὰ θηρία, ὅ τε σίδηρος καὶ τὸ πῦρ τὰ ἑαυτῶν δεδρακότα, ἀλλὰ τοῦτο τηλαυγῶς μάλιστα παριστᾷ ὡς ταῦτα κἀκεῖνα, εἰ καὶ μὴ ὡσαύτως ἔχουσι, μιᾶς ὅμως καὶ τῆς αὐτῆς αἰτίας ἤρτηται τῆς θείας προνοίας καὶ βουλήσεως ἄλλο τι δι' ἐκείνων οἰκονομούσης καὶ ἄλλο διὰ τούτων, ὧν τὴν ἔρευναν τό γε νῦν ἐατέον, τοῦ παρόντος καιροῦ τὴν ἔρευναν τῆς ἐνισταμένης ὑποθέσεως ἀπαιτοῦντος· πλὴν οὐ πρὸς ἀνδρὸς εὐσεβοῦς ἐννοῆσαι ἢ ὅλως εἰπεῖν κατὰ τοὺς ἀπίστους ἐκείνους διώκτας ὡς μαγγανείαις τισὶ τῶν ἀθλούντων ἐκεῖνα ἐτερατουργεῖτο ὡς τὰ τῶν λεγομένων θαυματοποιῶν, ἃ τοῖς ὀφθαλμοῖς ἀπατωμένοις μόνον δοκοῦσι, πράγματι δὲ καὶ ἀληθείᾳ οὐκ εἰσίν· οὐχ ὁ αὐτὸς δύναται Θεὸς καὶ ἐν τῷ λοιμῷ τὰς σαθρὰς κράσεις στερεῶσαι, τὰς δὲ ἰσχυρὰς πρὸς τοὐναντίον ματαβαλεῖν, ὅς γε καὶ αὐτὸν τὸν θάνατον εἰς ζωὴν μετεσκεύασεν, ὡς ἐν τῷ Λαζάρῳ καὶ τῷ μονογενεῖ υἱῷ τῆς χήρας, καὶ ἐν ἄλλοις πλείστοις θαυματουργήσας οὐ μόνον αὐτὸς δι' ἑαυτοῦ, ἀλλὰ καὶ διὰ προφητῶν καὶ ἀποστόλων καὶ μαρτύρων καὶ τοῖς νεκροῖς σώμασι τὸ ζῆν ἐχαρίσατο τιμῶν τοὺς αὐτοῦ θεράποντας. Ποῖοι λόγοι τῆς φύσεως δύνανται τοιοῦτόν τι ποιῆσαι, ποῖα στοιχεῖα, τίς τῶν ὑψηλοτέρων κίνησις εἰργάσατο ἢ δύναται ἐργάσασθαι, εἰμὴ ὁ Θεὸς ὡς Θεός, ὁ πάντα ποιῶν καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι; διὰ τοῦτο « μακάριοι πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον » καὶ « ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον· λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν ».

**Μύστης.** Καὶ τί τὸ ἄτοπον εἰ σὺν τῷ πεποιθέναι ἐπὶ Κύριον καὶ ἀσφάλειαν ἑαυτῷ τις περιποιεῖται μὴ μετασχεῖν τῆς νόσου;

**Μυσταγωγός.** Ἐκ τῶν πραγμάτων οἱ λόγοι κρίνονται· ὅταν δὲ τὰ πράγματα τοὺς λόγους ἐλέγχουσι ψευδομένους τί δεῖ λόγων; φεύγων γάρ τις ἀπὸ προσώπου Κυρίου, τὴν ἐλπίδα τῆς σωτηρίας ἔχων ἐν ἀνέμοις ἀμολύντοις, ὡς οἴονται, καὶ τόποις καθαροῖς καὶ οὐκ ἐν τῇ τοῦ Θεοῦ δυνάμει, πῶς ἀληθεύσει λέγων ὅτι πέποιθεν ἐπὶ Κύριον; Ὅ, τι δὲ ζη-

τεῖς μαθεῖν, τί τὸ ἄτοπον, λέγω σοι ὅτι μέγα καὶ πολύ · πρῶτον μὲν ὅτι ὁ ποιῶν τοῦτο καταφρονεῖ τοῦ Θεοῦ κάκιστα δρῶν, ὃν ὀνειδίζων ὁ προφήτης φησίν · « Θεὸν τὸν ποιήσαντά σε ἐγκατέλιπες καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε » · δεύτερον ὅτι οὐ πιστεύει ὀρθῶς εἰς Θεόν · αὐτὸς δὲ φησίν · « ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται » · ὥστε ὁ μὴ πιστεύων ζῶν ἀποθνήσκει · ἡ τελεία δὲ πίστις εἰς Θεὸν ὄντως ἐστὶ πίστις εὐσεβής, ἡ δὲ ἀτελὴς καὶ ἐνδοιάζουσα οὐδὲ πίστις ἐστίν · ἐπίστευσε δὲ ὀρθῶς εἰς Θεὸν ὁ εἰπὼν πρὸς αὐτὸν « ὅτι ἐν σοὶ ρυσθήσομαι ἀπὸ πειρατηρίου καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος » · ὥστε ὁ μὴ ἐν τῷ Θεῷ ρυσθῆναι τῆς νόσου καὶ ἐν αὐτῷ ὑπερβῆναι τὸ τεῖχος τοῦ θανάτου δύνασθαι φρονῶν, ἀλλ᾽ ἐν λογισμοῖς ἐπισφαλέσι καὶ ἐν τῷ φεύγειν, οὐδὲ πιστεύει εἰς Θεὸν ὀρθῶς. Τριτον ὅτι οὐδὲ ἐλπίζει ἐπ᾽ αὐτόν · εἰ οὖν « μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτὸν καὶ οὐ μὴ πλημμελήσουσιν », ὁ μὴ οὕτω ποιῶν πλημμελεῖ καὶ ἄθλιός ἐστιν · « ἀποστραφήτωσαν δέ, φησιν, οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ » ὁρᾷς τίσι συναριθμεῖται ὁ μὴ τὴν ἐλπίδα ἔχων ἀκλινῶς ἐπὶ Κύριον ἀλλ᾽ ἐπὶ μεθόδοις ἀνθρωπίναις ἀλόγοις καὶ ματαίαις; Ἀμέλει καὶ τοῦ ὁμοιωθέντος τῇ ματαιότητι αἱ ἡμέραι ὡσεὶ σκιὰ παράγουσιν · ἀλλ᾽ « ἔλπισον ἐπὶ Κύριον καὶ αὐτὸς ποιήσει καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν ». Τέταρτον ὅτι συντρέχει τῷ σκοπῷ καὶ ταῖς κατὰ Θεοῦ μηχαναῖς τοῦ διαβόλου, τοῦ ταῦτα τεκταινομένου καὶ σκευωροῦντος ἐπὶ ἀθετήσει τῆς θείας προνοίας καὶ τῆς παντοκρατορικῆς καὶ ἐποπτικῆς πάντων τοῦ Θεοῦ δυνάμεως, ὃν ἐλέγχων καὶ κατὰ πρόσωπον αὐτοῦ παριστῶν τὴν ἀνομίαν αὐτοῦ ὁ προφήτης φησίν · « εἰ ἐθεώρεις κλέπτην συνέτρεχες αὐτῷ καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις ». Τις δ᾽ ἂν εἴη χείρων κλέπτης καὶ μοιχὸς τοῦ διαβόλου ἀποσυλῶντος τὰ δίκαια τοῦ Θεοῦ καὶ τῷ θρόνῳ αὐτοῦ ἀμετόχως ἐπιβεβουλευκότος; Πέμπτον ὅτι καὶ αἱρετικὸς ἀναφαίνεται · εἰ γὰρ ὁ μικρὸν γοῦν παρεκκλίνων τῆς ὀρθοδόξου πίστεώς ἐστιν αἱρετικὸς καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις, ὁ ταύτην τὴν δόξαν ᾑρημένος ἐφ᾽ ᾧ τὴν τοῦ Θεοῦ πρόνοιαν καὶ τὴν παντοκρατορικὴν καὶ ἐποπτικὴν αὐτοῦ δύναμιν ἀθετεῖν, πῶς οὐκ ἂν κληθείη αἱρετικὸς καὶ δικαίως καὶ ταὐτὰ τοῖς αἱρετικοῖς ἐπιτίμια πάθοι · ἢ οὐ συνᾴδει κατὰ τοῦτο τοῖς αὐτοματισταῖς; ἐκκηρυκτέος οὖν ἐστι καὶ ἀποκοπτέος τῆς ὁλομελείας τῆς ἐκκλησίας τῶν ὀρθοδόξων, ὥσπερ κἀκεῖνοι, ὁ τοιοῦτος.

**Μύστης.** Εἰ τοίνυν ἐξηρτῆσθαι φῂς πάντα τῆς θείας προνοίας καὶ δι᾽ αὐτῆς οἰκονομεῖσθαι καὶ κυβερνᾶσθαι τὸ πᾶν καὶ τὰ καθ᾽ ἕκαστα, δεήσει μήτε ἰατροὺς καλεῖν ἐπὶ τοῖς νοσοῦσι μήτε τὰ πρὸς θεραπείαν αὐτῶν ἐπιτηδεύειν, ἀφράκτους τε εἰς πόλεμον ἰέναι, κρημνὸν μὴ δεδιέναι, θαλάττης κατατολμᾶν, λῃστῶν καταφρονεῖν, θηρία μὴ δειλιᾶν, μηδένα κίνδυνον φυλάττεσθαι, ἀλλὰ τῷ Θεῷ πάντα ἐπιτετραφότας ζῆν ἀπεριμερίμνως καὶ ταὐτὰ τοῖς ἐθνικοῖς φρονεῖν λέγουσι τῇ ἰδίᾳ ἑκάστου κεφαλῇ τὸ συμβησόμενον ἑκάστῳ γεγράφθαι ὡς γενησόμενον δήπου.

**Μυσταγωγός.** Οὐ τοῦτο φημί, ὦ βέλτιστε · τοῦτο γὰρ τῆς ἑλληνικῆς πλάνης ἐστὶ καὶ τῶν τῇ εἱμαρμένῃ προσεχόντων, οἷς συνῳδὰ καὶ οὗτοι οὓς λέγεις ἐθνικοὺς ἐν τούτῳ φθέγγονται, ὧν τὴν πίστιν εἴ τις προσείποι μισγάγειαν τῶν αἱρέσεων ἁπασῶν οὐκ ἂν ἁμάρτοι · ὁ γὰρ παραδεδωκὼς αὐτοῖς ταύτην κακοῦργος ὢν ἀπὸ πασῶν ἐκλεξάμενος ὅσα οἱ ἐδόκει τούτοις συνέθηκεν αὐτήν · εἰσὶν οὖν ἐν οἷς ἰουδαΐζουσι καὶ ἐν ἄλλοις ἑλληνίζουσι, τινὰ τῶν χριστιανῶν ὁμολογοῦσιν, ἔν τισι τῷ Ἀρείῳ συμφθέγγονται καὶ ἔν τισι τῷ Νεστορίῳ καὶ Μακεδονίῳ καὶ ἐν ἄλλοις τοῖς ἄλλοις · ἑλληνίζουσιν οὖν ἐν τούτῳ τὴν εἱμαρμένην τιμῶντες, εἰ καὶ μὴ ταῖς αὐταῖς τοῖς Ἕλλησι συλλαβαῖς προφέρουσιν ὄνομά τε καὶ ἰσχὺν καὶ ἐνέργειαν αὐτῆς · λέγοντες γὰρ ὅσα εἴρηκας, εἰς οὐδὲν ἕτερον ἐκφέρονται ἢ εἰς τὴν τοιαύτην κακοδοξίαν, καὶ προφερόντων αὐτοῖς τινῶν τὴν χρῆσιν τῶν ἰατρῶν χάριν τοῦ μὴ μακρονοσῆσαι γίνεσθαι προβάλλονται · πεπρωμένου μὲν ὄντος τοῦ νοσῆσαι, τὸ ἐπὶ πλέον δὲ καὶ μὴ παρὰ τῇ διαίτῃ εἶναι, τὴν δὲ σκευὴν φάσκουσιν ἡ δειλία τῆς σαρκὸς ἐμηχανίσατο · ἐπεὶ πολλοὶ γυμνοὶ ταύτης τῷ πολέμῳ τολμηρότεροι χρώμενοι οὔτε τιτρώσκονται οὔτε σφάττονται, ἃ πάσχουσι πολλοὶ τῶν ἀσφαλῶς πεφραγμένων, ὧν ἔνιοι οὐδ᾽ ἐν τῷ πολέμῳ ἀλλ᾽ ἔξω που ἑστῶτες θεωροὶ τοῦτο πάσχουσιν, ἰόντος ἀπροόπτως ἐπ᾽ αὐτοὺς βέλους τῇ δυνάμει τῆς εἱμαρμένης · ἡμῖν δὲ ἀπὸ Χριστοῦ ταῦτα πάντα ἀπείρηται, τῆς τοῦ Θεοῦ προνοίας καὶ διεξαγωγῆς καὶ κυβερνήσεως ἐξῆφθαι τὰ πάντα καὶ γίνεσθαι κατὰ τοὺς ἀρρήτους λόγους τῆς αὐτοῦ σοφίας καὶ προνοίας καὶ γνώσεως, καλῶς διδαχθεῖσι καὶ μαθοῦσι καὶ στέργουσιν εὐσεβέστερον · ἢ οὐκ οἶδας ὡς πολλὰ τῶν νοσημάτων ἐν πολλοῖς καὶ κατὰ καιροὺς ἀσθενῆ τὴν τῶν ἰατρῶν ἐλέγξαντα τέχνην ἥττηνται τῆς θείας δυνάμεως ἢ δι᾽ ἀνθρώπων θεοφιλῶν ἢ ἐπ᾽ αὐτὸν τὸν Θεὸν καταφυγόντων τῶν νοσούντων. Εἰ γὰρ καὶ ἀναίτιον τὸν Θεὸν ὁμολογοῦμεν τῶν κατὰ τὸν βίον ἐπιγινομένων τοῖς ἀνθρώποις σκυθρωπῶν, εἴτε φύσει διοικουμένοις εἴτε προαιρέσει χρωμένοις εἴτε τύχῃ δουλεύουσιν, ἀλλὰ κἀκεῖνα εἰ μὴ παρὰ Θεοῦ, ἀλλ᾽ οὐκ ἄνευ Θεοῦ λέγειν ἂν ὅσιον συγχωροῦντος ἢ καὶ παραχωροῦντος · χωρὶς γὰρ αὐτοῦ φησὶν οὐδὲ στρουθίον ἐν παγίδι · θανάτου δὲ ὅς ἐστι συγκλεισμὸς καὶ πέρας τῶν κατὰ τὸν ἄνθρωπον τὸν εἰκόνι Θεοῦ τετιμημένον καὶ τῶν αὐτοῦ δημιουργημάτων πάντων ὑπέρτερον, μὴ Θεοῦ μόνου τὰς ἡνίας ἠρτῆσθαι, τίς ἂν εἴποι μὴ οὐχὶ παντάπασι τὰ ἄτοπα λέγειν εἰρημένος · διὸ καὶ ὁ προφήτης ἔλεγε · « ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω » καὶ τὰ ἑξῆς · ἄπειρος γὰρ ὢν ὁ Θεὸς καὶ τὰ πάντα πληρῶν καὶ ὑπὲρ τὰ πάντα ὢν καὶ τὴν πάντων κυβέρνησιν αὐτὸς διοικεῖ μόνος καὶ ἐπάγει ἀγαθὰ μὲν τοῖς ἀγαθοῖς, πονηρὰ δὲ τοῖς πονηροῖς. Μάθε τοῦτο καὶ ἀπὸ τῆς εὐαγγελικῆς παραβολῆς τῆς τὸν πατέρα καὶ Θεὸν γεωργὸν ποιούσης τὸ καρπὸν καλὸν φέρον κλῆμα καθαίροντα, τὸ δὲ μὴ καλὸν ἐκβάλλοντα καὶ εἰς τὸ πῦρ βάλλοντα τοῦ καίε-

σθαι· ὅ καὶ ὁ Δαυῒδ ἀποφαίνεται εὐχόμενος τῷ Θεῷ καὶ λέγων· «ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς, τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν». Ὁρᾷς πῶς πάντα τῆς τοῦ Θεοῦ προνοίας ἤρτηται, ἀγαθά τε καὶ σκυθρωπά, καὶ πῶς αὐτὸς ἀποδίδωσι τὰ σκυθρωπὰ τοῖς πονηροῖς, ὥσπερ τὰ ἀγαθὰ τοῖς ἀγαθοῖς; τοῦτο διὰ τὴν ἑαυτοῦ ἀγαθότητα, ἐκεῖνο διὰ τὴν τῶν πονηρῶν σκαιότητα καὶ τὴν ἑαυτοῦ δικαιοκρισίαν· ὅμως τούτων τε κἀκείνων αἴτιός ἐστιν, εἰ καὶ μὴ οὐχ ὁμοίως· ἑτέρως δὲ πῶς ἂν ἦν δίκαιος κριτής· πῶς οὖν οὐκ ἀνομεῖ τὰ μέγιστα ὁ ταῦτ' ἀδίκως ἀφαιρούμενος αὐτοῦ, ἢ πῶς ἂν εὐσεβὴς καὶ ὀρθόδοξος οὗτος κληθείη;

**Μύστης.** Τί οὖν δραστέον ἐνσκήψαντος λοιμοῦ;

**Μυσαγωγός.** Μὴ φυγεῖν ἐν ἐρήμοις τόποις μηδὲ ἐπιζητεῖν ἀνέμους ἀλλὰ καταφυγεῖν ἐπὶ Κύριον τὸν δυνάμενον σώζειν τοὺς ἐπ' αὐτὸν καταφεύγοντας· οὐκ ἔγνως τί πεποίηκε Δαυῒδ ὅτε ἁμαρτήσας πεπείραται θείας ὀργῆς καὶ αἵρεσις αὐτῷ προετέθη παρὰ Θεοῦ, ὁποτέρας ἂν παιδείας βούλοιτο τυχεῖν, τριῶν προτεθεισῶν αὐτῷ, καὶ εἵλετο τὴν τοῦ στρατοῦ φθορὰν καὶ λοιμοῦ ἐνσκήψαντος αὐτῷ συγκοπτόμενον αὐτὸν ἑωρακὼς παρὰ τοῦ ἀγγέλου προστάξει Θεοῦ ἔγνω κακῶς βουλευσάμενος οὐ λαβὼν τὸν στρατὸν ἀπέδρα εἰς τόπους οὓς ἐπισκοπεῖ Κύριος — οὐ γὰρ ἤδει τοιούτους οὐδαμοῦ — ἵνα ἐκφύγῃ τὸν ὄλεθρον, ἀλλὰ μετανοίας τρόποις χρησάμενος ἐν σποδῷ καὶ σάκκῳ καὶ ἱκεσίαις ἐκ γνησίας μετανοίας τὴν συγγνώμην παρὰ Θεοῦ ἐπεσπάσατο καὶ τοῦ ὀλέθρου τὸ λοιπὸν τοῦ στρατοῦ ἐλυτρώσατο· ἤδει γὰρ τὸν θάνατον ἐπιτίμιον μὲν ὄντα τῆς ἁμαρτίας ὑφ' ἡμῶν καὶ καινουργηθέντα καὶ ἐπαγόμενον ἐνδίκως παρὰ Θεοῦ ἡμῖν ἁμαρτάνουσιν, οὐκ ἂν δ' ἄλλως τὸ ἑαυτοῦ δρᾶν ἀφαιρηθησόμενον εἰμὴ διὰ Θεοῦ, καταφευγόντων αὖθις ἡμῶν τῶν ἁμαρτωλῶν ἐν μετανοίᾳ πρὸς αὐτόν, οὐ τούτου μὲν καταφρονούντων καὶ ὑπερορώντων, ἀνέμοις δὲ θαρρούντων καὶ ἐρήμοις τόποις· ἔρημος γὰρ οὐδεὶς τόπος Θεοῦ, εἰμὴ ἑκάστου τῶν ἁμαρτωλῶν ἡ ψυχὴ τοῦ λέγοντος ἐν τῇ ἑαυτοῦ ἀφρόνως καρδίᾳ, οὐκ ἔστι Θεὸς ὁ δυνάμενος σώζειν καὶ ρύεσθαι τοῦ θανάτου τὸν ἄνθρωπον. ἀπατῶνται γὰρ πολλοὶ τοῦτο οἰόμενοι καὶ δι' ὧν ποιοῦσιν εἰς αὐτὸν τὸν Θεὸν ἐξυβρίζουσιν, ὃ τῆς ἐσχάτης μανίας ἐστὶν ἢ μᾶλλον εἰπεῖν ἀσεβείας. Ἄκουε καὶ τοῦ τῆς οἰκουμένης φωστῆρος τοῦ Χρυσορρήμονος ἐν ἕκτῳ τῶν ἀνδριάντων λόγῳ συμβουλεύοντος τοῦτο· «μὴ τῇ φυγῇ τὴν σωτηρίαν ἡμῶν ἐγχειρίζωμεν, ἀλλὰ φύγωμεν ἁμαρτίας, ἀποστῶμεν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς· ἐὰν ταύτην φύγωμεν, κἂν μεταξὺ μυρίων ὦμεν στρατιωτῶν οὐδεὶς ἡμᾶς πλῆξαι δυνήσεται· ἐὰν ταύτην μὴ φύγωμεν κἂν εἰς αὐτὴν τῶν ὀρέων τὴν κορυφὴν ἀναβῶμεν, πολεμίους ἐκεῖ μυρίους εὑρήσομεν».

**Μύστης.** Καὶ πῶς διασώζονται πολλοὶ τῶν φυγόντων;

**Μυσταγωγός.** Ἔργον τοῦτο περισπούδαστον ἐκτόπως τῷ διαβόλῳ καὶ μόνον αὐτῷ σπουδῆς ὅτι πλείστης ἀξιούμενον παρ' αὐτοῦ πάσας μηχανὰς ἐξευρίσκειν, ἐφ' ᾧ τοῦ Θεοῦ τοὺς ἀνθρώπους ἀποστῆσαι οἰόμενός τι κερδανεῖν ἐκ τούτου, ἐπίβουλος ὢν ἀρχῆθεν τῇ τοῦ Θεοῦ δόξῃ καὶ κυριότητι καὶ πάντας εἰ οἷόν τε ἦν αὐτῷ ὑφ' ἑαυτὸν ποιήσασθαι κόρον ἔσχεν ἂν οὐδέποτε, καὶ δῆτα πονηρὰς ἐννοίας ὑποβάλλει ταῖς καρδίαις αὐτῶν ποιεῖν τοιαῦτα, οἷς ὡς πορρωτάτω Θεοῦ ἀπάγοιντο· ἔνθεν τοι καὶ ἄλλας μὲν πονηρὰς ἐννοίας ἔθος αὐτῷ ὑποτιθέναι, οὐχ ἥκιστα δὲ ταύτην ἐμηχανίσατο ἀναπείθειν τοὺς ἀνθρώπους μήτε φοβεῖσθαι τὸν Θεὸν μήτε ἐλπίδα σωτηρίας ἔχειν ἐπ' αὐτὸν ἐν καιρῷ φοβερῷ καὶ κίνδυνον ἀπειλοῦντι καταφυγόντας ἐπ' αὐτόν, ἀσθένειαν δηλαδὴ κατεγνωκότας αὐτοῦ ὡς οὐκ ἔχοντος βοηθεῖν, ἀλλὰ μεῖζον δύνασθαι τοὺς ἀνέμους καὶ τὰ ἔρημα τῶν χωρίων. Ἀμέλει καὶ πρῶτον μὲν ἀνέπεισε τοῦτο δρᾶν ὅσοι τοῦ ἤθους ἔτυχον εὐκόλου, συνεπάγονται δὲ καὶ ἕτεροι ὅσοι ἐπισείοντος αὐτοῖς τοῦ λοιμοῦ τὸν θάνατον, διὰ τὸ φιλόζωον συνθολοῦνται τὸν νοῦν καὶ οὐ δύνανται τὸ πρακτέον ὀρθῶς διανοήσασθαι, ἀλλ' ὥσπερ ἐν σκότῳ ψηλαφητῷ τῷ παρατυχόντι χρῶνται εἰς βοήθειαν ὄντι μᾶλλον εἰς ἀπώλειαν· τῷ τοι καὶ λοιμοῦ ἐνσκήψαντος, Θεοῦ μὲν αὐτοῖς μνήμη οὐδ' ἡτισοῦν οὐδὲ ἐλπὶς οὐδὲ καταφυγὴ ἐπ' αὐτόν, ἢ πεπλασμένη τις καὶ ἐνδοιάζουσα καὶ ἀπαγής, καταφυγὴ δὲ αὐτοῖς δοκεῖ βεβαία καὶ ἀσφαλὴς ἡ εἰς ἀέρας ἄλλους καὶ τόπους ἐρήμους, ὃ καὶ ποιοῦσι, τοῦ ἀσεβοῦς περὶ τὸ θεῖον διαβόλου πληροῦντες διανόημα καὶ τῇ αὐτῇ αὐτῷ ἀσεβείᾳ καὶ αὐτοὶ περιπίπτοντες, ἔλθετε μεθ' ἡμῶν λέγοντι κοινωνήσατε τῆς ἀσεβείας καὶ κρύψομεν τὴν τοῦ Θεοῦ δύναμιν ἀδίκως. ὅλον δὲ τὸ τούτου διανόημά ἐστιν, ἵνα εἰ τυχὸν ἀνώτεροι τοῦ κινδύνου γένοιντο, μακροθυμοῦντος τοῦ Θεοῦ, ὡς ἔθος αὐτῷ, μάρτυρας ἔχῃ κατὰ τῆς θείας προνοίας καὶ παντοκρατορικῆς καὶ ἐποπτικῆς πάντων τοῦ Θεοῦ δυνάμεως, ὅπερ εἶχεν ἂν ἁμηγέπη λόγον τινά, εἰ πάντες οἱ ἀποδιδράσκοντες διεσώζοντο· νῦν δὲ ὁρῶμεν ὅτι καὶ πολλοὶ θνήσκουσιν αὐτῶν, ὥσπερ καὶ τῶν μὴ φυγόντων πολλοὶ θνήσκουσι, πολλοὶ δὲ καὶ διασώζονται. Εἰ οὖν ὅμοιον τὸ γινόμενον ἐν ἀμφοτέροις, ἀλλὰ τὸ μὲν ἀνόσιον καὶ ἀσεβείας μεστόν, ὡς ἤδη δέδεικται, τὸ [δ'] εὐσεβὲς καὶ πλείονος ἀσφαλείας ἐχέγγυον, πῶς οὐχ αἱρετέον τοῦτο τοῖς γε φρονοῦσιν εὖ καὶ βουλομένοις εὐσεβεῖν;

**Μύστης.** Ἀλλὰ προφήτης ἕτερος παραινεῖ λέγων· «ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου»· εἰ οὖν ὀργὴ Κυρίου ἐπάγεται λοιμὸς θανατικὰς νόσους ἐργαζόμενος τοῖς ἁμαρτάνουσι, πῶς κακὸν τὸ φυγεῖν καὶ ἀποκρυβῆναι μικρόν;

**Μυσταγωγός.** Ἔοικας, ὦ ἄνθρωπε, μὴ ἐπιστῆσαι ἀκριβῶς τῷ σκοπῷ τοῦ ρητοῦ, ἀλλ' ἐπιπολῆς ἅψασθαι αὐτοῦ· σκέψαι δὲ ἀπ' ἀρχῆς τὸ ρητόν· «βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, κλεῖσον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου». Συνῆκας νῦν γοῦν τὴν τοῦ προφητικοῦ τούτου ρητοῦ διάνοιαν; οὐ λέγει ὅτι ἁμαρτάνων φύγε τὸν τόπον καὶ ἀποκρύβηθι καὶ

οὕτως οὐ μή σε καταλάβῃ ἡ ὀργὴ Κυρίου, ἀλλ' οἴκοι μένων εἴσελθε εἰς τὸν ἐνδότερον τῆς ψυχῆς σου τόπον πρὸς ἑαυτὸν ἐπανιὼν καὶ τὰ σὰ περισκοπῶν καὶ κλείσας τὴν θύραν, τὴν εἰσοδοδιέξοδον δηλαδὴ τῶν κοσμικῶν καὶ ματαίων διαλογισμῶν καὶ φροντίδων, ἀποκρύβηθι μικρὸν ἀπὸ τούτων σεαυτῷ καὶ τῷ Θεῷ μόνῳ προσέχων τῷ εἰδότι τὰ τῆς διανοίας κρυπτά, τὰς ἐννοίας καὶ τὰς πράξεις σου ἀναλογιζόμενος καὶ σαυτὸν εὐθύνων ἀπόδος τοὺς λόγους καὶ ἐγγύας παράσχου μηκέτι εἰς αὐτὰς ἐπιστρέψαι, ὡς ὁ κύων ἐπὶ τὸν ἴδιον ἔμετον, καὶ ποίει οὕτως ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου ἵλεω γενομένου ἐφ' οἷς ἔπραξας ἀτόποις ἔργοις καὶ συγγνώμην σοι δωρησαμένου διὰ μετανοίας καὶ ἐξομολογήσεως. Αὕτη ἐστὶν ἡ εὐσεβὴς καὶ ἀληθὴς τούτου τοῦ ρητοῦ διάνοια · τοῦτο πεποίηκε καὶ ὁ Δαυίδ, ὡς μικρὸν πρόσθεν εἰρήκαμεν, καὶ συγγνώμης ἠξίωται παρὰ Θεοῦ καὶ οὐκ ἀπώλετο τελείως ἡ αὐτοῦ στρατιά · τοῦτό σοι παραγγέλλει καὶ ὁ μακάριος ἐν προφήταις καὶ θεόπτης Μωϋσῆς λέγων · « πρόσεχε σεαυτῷ » · καὶ πάλιν · « σχολάσατε καὶ γνῶτε » · καὶ τῶν ἔξω σοφῶν ὁ εἰπὼν « πρὸς ἑαυτὸν ἐπανάγου ». Τοῦτο ποίει καὶ αὐτὸς καὶ τοῖς ἄλλοις εἰσηγοῦ λοιμοῦ ἐνσκήψαντος ἢ ἄλλως πως ὀργίλως κινηθέντος τοῦ Θεοῦ χρῆσαι μετανοίᾳ καὶ ἐξομολογήσει, χρῖσον τὰς τοῦ ταμιείου σου φλιὰς τῷ αἵματι τῶν ἀποκτανθέντων σου λογισμῶν πονηρῶν καὶ πράξεων, καὶ οὐ μή σου θίγῃ ὁ ὀλοθρευτής · αἰδεσθήσεται γάρ σου τὴν μετάνοιαν, ὅτι ὁ Θεὸς Θεὸς τῶν μετανοούντων ἐστίν, ἐλεήμων καὶ συμπαθὴς καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν τῶν ἀνθρώπων μετεγνωκότων ἤδη πάντως · αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

**Μύστης.** Χάριτας ὅτι πλείστας ὁμολογῶ σοι, τιμιώτατε μυσταγωγέ, ἱκανῶς τὴν ἀπορίαν μου λελυκότι καὶ πεπληροφορηκότι ἀρκούντως περὶ ὧν ἔχρῃζον μαθεῖν · οὐκέτι δὲ ἀκριβῶς ὅσα ἐδιδάχθην νῦν παρὰ σοῦ καὶ πλείω δὲ ὧν ἔχρῃζον ἔμαθον, πλατύτερον τῇ διδασκαλίᾳ χρησαμένου σου καὶ ἄλλα πολλὰ ἀναγκαῖα παρενείραντος καὶ ἐξηγησαμένου αὐτὰ ἐπ' ὠφελείᾳ ἡμετέρᾳ οὐ μικρᾷ, ἐμοῦ δὲ οὐκ ἀξιόχρεω τυγχάνοντος ἀξίως τὴν εὐχαριστίαν σοι παρασχεῖν, ὁ πλουτοδότης πάντων τῶν ἀγαθῶν Θεὸς δῴη σοι τὴν ἀμοιβὴν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἣν ἠνίξατο διὰ τῆς εὐαγγελικῆς παραβολῆς τοῦ πολυπλασιάσαντος τὸ τάλαντον · ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

---

**Σημείωσις :** Τὸ ἐν τῷ ἐμῷ Κώδικι ἀκέφαλον ἀνωτέρω ἔργον τοῦ Μηδείας περὶ προνοίας εἰκάζω ὅτι εἶναι ὅμοιον πρὸς τὸ σωζόμενον πλῆρες ἐν τῷ Κώδικι τοῦ Γυμνασίου τῆς Μιτυλήνης ὑπ' ἀριθ. 6 οὗτινος περιγραφὴν πλήρη ἐγνώρισεν ἡμῖν ὁ Παπαδόπουλος Κεραμεὺς ἐν τῇ Μαυρογορδατείῳ Βιβλιοθήκῃ (σ. 19) καὶ ὅπερ φέρει τὴν ἐπιγραφὴν : « Πρὸς τοὺς νομίζοντας ἐὰν φύγωσιν ὅθεν λοιμώδεις ἀέρες καταπνέουσι διασώζονται · ἐμμένοντες δὲ ἐκεῖσε καὶ σπῶντες αὐτοὺς τὸν θάνατον ἐπισπῶνται, Λόγος ἀποδεικνύων κακῶς φρονοῦντας αὐτοὺς καὶ εἰς Θεὸν ἐξαμαρτάνοντας · συντέτακται δὲ ἐν σχήματι διαλόγου κατὰ πεῦσιν καὶ ἀπόκρισιν μύστου τινος διαποροῦντος καὶ πυνθανομένου καὶ μυσταγωγοῦ ἀποκρινομένου καὶ λύοντος. » Ἕτερον δὲ ἀπόγραφον μὲ ἀτελεστέραν ἐπιγραφὴν εὕρηται ἐν τῇ Ἱεροσολυμιτικῇ Βιβλιοθήκῃ περὶ οὗ ὁ αὐτὸς Κεραμεὺς ἔγραψε τὰ δέοντα ἐν τῇ « Ἐκκλησιαστικῇ Ἀληθείᾳ » (Τομ. Γ' σ. 418). Ἐν τῷ αὐτῷ τῆς Μιτυλήνης Κώδ. εὕρηται καὶ ἡ κατὰ Ἰουδαίων τοῦ Μηδείας πραγματεία περὶ ἧς λόγον ποιεῖται ὁ φιλόσοφος Ἀμοιρούτζης ἐν τῇ 2 ἐπιστολῇ. Κατάλογος δὲ πληρέστερος τῶν ἔργων τοῦ Μηδείας ἅτινα ἀτελῶς ἀπαριθμεῖ ὁ Σάθας (Νεοελλ. Φιλολ. σ. 105) κατεστρώθη ὑπὸ τοῦ αὐτοῦ Κεραμέως (Μαυρογορδάτειος Βιβλ. ἔνθ. ἀνωτ.) ἐπὶ τῇ βάσει τοῦ τῆς Μιτυλήνης Κώδ. ὅστις περιέχει καὶ τὴν σειρὰν ἅπασαν τῶν ἀνωτέρω δημοσιευθεισῶν τοῦ Μηδείας ἐπιστολῶν κατὰ τὴν αὐτὴν τάξιν ὡς ἐξεδόθησαν ἐν τῷ αὐτῷ τεύχει τῆς Μαυρογορδατείου Βιβλιοθήκης ὑπὸ τοῦ Κεραμέως. Ἡ ἐπανέκδοσις τῶν ἐν λόγῳ ἐπιστολῶν ἐπεβάλλετο διὰ τὸ ἔγκυρον τοῦ ἐμοῦ Κώδικος συμπληροῦντος καὶ διορθοῦντος ἐν πολλοῖς τὸ τῆς Μιτυλήνης χειρόγραφον ὡς κατέδειξεν ἡ ἐπισταμένως γενομένη τῶν δύο κειμένων παραβολή. Ἐλλείψει χώρου παραλείπω τὴν καταγραφὴν τῶν μεταξὺ τῶν δύο Κωδίκων παραλλαγῶν ἐπαφιέμενος τοῦτο εἰς τὸν μέλλοντα νὰ ἀσχοληθῇ κριτικῶς περὶ τὴν ἔκδοσιν τῶν ἁπάντων τοῦ σοφοῦ Μηδείας Θεοφάνους · ὡς τὸ ἐν τῇ 2 ἐπιστολῇ ἀκατάληπτον τοῦ τῆς Μιτυλήνης Κώδικος « καὶ μὴ λόγοις τοιάνδε παιδιὰν ἐν γήρει τίκτων » τὸ ὁποῖον ὀρθῶς ὁ ἐμὸς Κῶδ. διασώζει « καὶ μὴ λήγοις τοιάδα παιδία ἐν γήρει τίκτων » εὕρηνται πολλαὶ τοιαῦται γραφαὶ καὶ φράσεις σκοτειναὶ καὶ ἀσαφεῖς ἐν τῇ ἐκδόσει τοῦ Κεραμέως, ὀρθαὶ δὲ καὶ σαφεῖς ἐν τῇ ἐμῇ ἀνωτέρω ἐκδόσει τῶν ἐπιστολῶν. Περισσοτέραν συγγένειαν παρουσιάζει ὁ ἐμός Κῶδ. πρὸς τὸ παρισινὸν ἀπόγραφον τὸ περιέχον 8 ἐπιστολὰς τοῦ Μηδείας ἃς ἐξέδοτο ὁ Λάμπρος ἐν τῷ Νέῳ ἑλληνομνήμονι (1913 τομ. 10 σ. 258-275).

**Παροραμάτων διορθώσεις ἐν ταῖς ἐπιστολαῖς τοῦ Μηδείας :**

Ἐπιστολὴ 1 στίχ. ἐπιστολῆς 7 γράφε : συγγράμματα μᾶλλον ἂν καλοῖτο.
αὐτόθ. στίχ. 15 γρ : ὧν ὑπέρτερος μὲν ἦσθα.

Ἐπιστ. 2 στίχ. 10 γρ : οὐ γὰρ ἐδόκουν ἐν λόγοις ἔτι τοιόνδε σώζεσθαι λείψανον.
αὐτόθ. στίχ. 11 γρ : καὶ τὴν δόξαν ἣν εἶχον... ηὔξησα.
αὐτόθ. στίχ. 23 γρ : ἐνδεχομένως πρόεισιν ἀπὸ τῆς φύσεως.
αὐτόθ. στίχ. 27 γρ : δοκεῖ γὰρ εἴτι πρόεισιν ἐνδεχομένως.
αὐτόθ. στίχ. 28 γρ : διότι διχῶς ἀνάγκη τὸ τοιοῦτον συμβαίνειν ἢ τῆς αἰτίας ἀσθενείᾳ.

Ἐπιστ. 4 στίχ. 12 γρ : τὸν τοῦ μύθου Ἀμφιγυίην.
αὐτόθ. στίχ. 14 γρ : ὃ καὶ χεῖρον σφοδρᾷ καταπτώσει.
αὐτόθ. στίχ. 50 γρ : καὶ τὸ γενέσθαι καὶ τὸ μὴ καὶ τὸ ὅπως ἑκάτερον.
αὐτόθ. στίχ. 61 γρ : καὶ ἀναγκαίως δωρεῖται οἷς δωρεῖται.
αὐτόθ. στίχ. 104 γρ : καὶ τὰ ἐν τῷ λειμῶνι ἄνθη ἐπιχρωννῦντος.
αὐτόθ. στίχ. 112 γρ : εἰ δ' ἔτι ἐνδεῶς ἴσως.

Ἐπιστ. 5 στίχ. 3 γρ : ἥσθης τε διιὼν αὐτὰ καὶ τεθαύμακας... ἥκιστα δὲ νῦν ἡσθήσεσθαι.

Ἐπιστ. 6 στίχ. 2 γρ : οὐ τὴν σὴν ἐδήλου μόνην ἣν ἔχεις.
αὐτόθ. στίχ. 14 γρ : κατ' ἐκείνην καὶ συνέστη.
αὐτόθ, στίχ. 16 γρ : ὑπ' ἐκείνην τετάχθαι.
αὐτόθ. στίχ. 58 γρ : κοιναῖς ἐννοίαις συμβαίνοντα.

Ἐπιστολ. 7 στίχ. γρ : οὐχ ὥς τι κερδανῶν.
αὐτόθ. στίχ. 12 γρ : συνάδειν ἀλλήλους ἡμᾶς ἐν τῇ περὶ αὐτῆς ἀπεφήνω δόξῃ.
αὐτόθ. στίχ. 14 γρ : καὶ οὐδὲν αὐτῆς ἀποπίπτει... ὑπουργικῶς δρᾶν σχούσης.
αὐτόθ. στίχ. 18 γρ : καὶ ἡ μετὰ ταῦτα γένεσις.
αὐτόθ. στίχ. 64 γρ : ὃ βούλεται δρᾷ.
αὐτόθ. στίχ. 87 γρ : τἐπ' ἐκείνοις ε χωρείτω.

αὐτόθ. στίχ. 99 γρ : τὴν αἴσθησιν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐδωρήσατο.

Ἐπιστολ. 11 στίχ. 10 γρ : πρῶτε πάντων καὶ κοινὲ διδάσκαλε.

αὐτόθ. στίχ. 32 γρ : σκῆψις δὲ ἡ μὴ οὖσα.

Ἐπιστ. 12 στίχ. 17 γρ : καταδεχομένοις τὰ ἀφόρητα.

Ἐπιστολ. 13 στίχ. 46 γρ : εἰ καὶ ἀναβάλλεται φιλαγάθως.

Ἐπιστολ. 14 στίχ. 11 γρ : εἰ γὰρ οὐ ξυνίης τῶν γεγραμμένων τὸν νοῦν.

αὐτόθ. στίχ. 43 γρ : εὐαγέσι γέ τοι τρόποις.

αὐτόθ. στίχ. 58 γρ : ἀξιοῦτε τὸν θριγγόν.

αὐτόθ. στίχ. 81 γρ : πολιτεύεσθαί σε καλῶς.

Ἐπιστ. 15 στίχ. 6 γρ : ἰσχύος δὲ καὶ ἐμπίδος.

αὐτόθ. στίχ. 26 γρ : ἑάλως σαφῶς.

αὐτόθ. στίχ. 32 γρ : εἰς σαυτὸν γὰρ ἐπανακαμπτει.

αὐτόθ. στίχ. 36 γρ : ἐπεὶ τοῖς ἀξίοις οὐκ ἐξῆν.

αὐτόθ. στίχ. 41 γρ : καὶ ἁρπαγῇ νῦν ἀντέχῃ.

Ἐπιστολ. 16 στίχ. 33 γρ : καὶ τῇ ἀληθείᾳ ἐπαμύνειν.

αὐτόθ. στίχ. 51 γρ : πορνείας ἀναφανείσης μόνον.

αὐτόθ. στίχ. 67 γρ : ἴσχυσεν ἄν ὡς Βασιλείου.

αὐτόθ. στίχ. 88 γρ : γυμναστέον τὸν λόγον ἡμῖν εἰ δοκεῖ.

αὐτόθ. στίχ. 97 γρ : ἐγὼ δὲ τὴν ἀπ' αὐτῶν φοράν.

αὐτόθ. στίχ. 107 γρ : πρὸς δὲ αἰετὸν καὶ κύνα... οὐκ ἀτόλμως παραβαλλομένης.

Ἐπιστολ. 17 στίχ. 31 γρ : ἐμοὶ δὲ δωρηθῆναι τὸ αἴτημα.

Ἐπιστολ. 18 στίχ. 12 γρ : πολυάϊκὸς πολέμοιο.

αὐτόθ. στίχ. 18 γρ : καὶ μηδὲν τοιοῦτον.

αὐτόθ. στίχ. 35 γρ : τὸ συγχαίρειν σοι τῶν ἐπαίνων παράσχῃς.

Ἐν σελ. 410 ἀντὶ τοῦ φριγγοῦ τὰ ὅρια γράφε : τοῦ θριγγοῦ τὰ ὅρια · αὐτόθ. ἀντὶ τρυγμοὺς ἀκουομένους γράφε : τριγμούς ἀκουομένους.

---

# ΠΑΡΑΡΤΗΜΑ

## Β΄

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΙ ΜΕΛΟΓΡΑΦΟΙ

ΥΠΟ

**ΣΩΦΡΟΝΙΟΥ ΕΥΣΤΡΑΤΙΑΔΟΥ**

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΠΡ. ΛΕΟΝΤΟΠΟΛΕΩΣ

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΙ ΜΕΛΟΓΡΑΦΟΙ

Τὸ περὶ ἐκκλησιαστικῶν Μελογράφων ζήτημα δὲν ἠξιώθη τῆς δεούσης προσοχῆς καὶ ἐρεύνης οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς ξένοις · θέμα γόνιμον καὶ ἐπαγωγὸν πολλῆς χρῆζον μελέτης παρεγνωρίσθη καὶ παρημελήθη εἰς τοιοῦτον βαθμὸν παρὰ τῶν εἰδικῶν μουσικολόγων, ὥστε καὶ σήμερον ἔτι παραμένουσιν ἄγνωστα καὶ ἀφανῆ ὀνόματα περιφανῆ καὶ ἔνδοξα μελωδῶν διασήμων ἐξυψωσάντων ἐκπληκτικῶς τὴν ἱερὰν τέχνην καὶ χαραξάντων τὰς ἱερὰς τῆς καρδίας αὐτῶν δονήσεις καὶ παλμοὺς διὰ φωνῶν μελιρρύτων, αἵτινες ἐν τῇ διαρροῇ τῶν αἰώνων ἐξατμισθεῖσαι παραμένουσιν ὡς σκιὰ μόνον ἀγνώριστος καὶ ἀνείδεος καὶ ἀκατάληπτος εἰς τὰ πεπαλαιωμένα μουσικὰ χειρόγραφα. Ἡ φωνὴ τῆς ὀδύνης, τοῦ πάθους, τοῦ πόνου, τῆς χαρᾶς, τῆς εὐσεβείας πρὸς τὸ θεῖον, ὁ πλοῦτος ἅπας τῶν ἱερῶν συναισθημάτων, ἡ ἀπὸ τοσούτων ἐκχυθεῖσα στομάτων καὶ περιηχήσασα τοὺς ναοὺς καὶ τὰς πόλεις καὶ δονήσασα τόσας ψυχὰς φωνὴ ἐσβέσθη καὶ ἐξέλιπεν ἐν τῇ στροφῇ τοῦ χρόνου ὡς ἐκλείπει καπνὸς ἀπὸ προσώπου πυρός · καὶ τὰ λείψανα ταῦτα τὰ ἱερὰ καὶ πανέντιμα, τὰ εὐγενῆ τῆς Μούσης ἔκγονα, εἰς σωροὺς τέφρας ἀμόρφου ἄψυχα καὶ ἄφωνα περικλείονται εἰς τοὺς ἀρχαίους κώδικας συνθάψαντα καὶ τὰ ὀνόματα τῶν γεννητόρων αὐτῶν.

Καὶ ἐγένετο μὲν πρώτη καὶ σοβαρὰ ἀπόπειρα πρὸς ἀναστήλωσιν τῆς προγονικῆς μουσικῆς δόξης ὑπὸ τοῦ φιλοπονωτάτου Γεωργίου Παπαδοπούλου περισυλλέξαντος ἐν τῷ περισπουδάστῳ ἔργῳ αὐτοῦ « Συμβολαὶ εἰς τὴν ἱστορίαν τῆς παρ' ἡμῖν ἐκκλησιαστικῆς μουσικῆς » τὰ τῇδε κἀκεῖσε διεσπαρμένα μουσικὰ λείψανα, ἀλλ' ἡ προσπάθεια αὐτοῦ ἡ εὐγενὴς καὶ ἐπαίνων πολλῶν ἀξία δὲν ἐξίσχυσε ν' ἀποδώσῃ τὴν ὅλην λάμψιν ἥτις καλύπτεται ἀπὸ τοῦ πάχους πολλῶν κωδίκων μὴ μετακινηθέντων μηδὲ θιγέντων. Ἡ μελέτη τῶν ἀπειραρίθμων ἔν τε τῇ Ἀνατολῇ καὶ τῇ Δύσει μουσικῶν Κωδίκων θὰ ἔχυνε δέσμας ὅλας νέου φωτὸς ἀγνώστου καὶ θὰ ἐφώτιζε τόσον φαιδρῶς τὸ μουσικὸν ἡμῶν στερέωμα, ὥστε ἡ σκιὰ δὲν θὰ ἐδέσποζε τοῦ μουσικοῦ κόσμου, οὐδὲ τὸ σκότος θὰ ἦτο βαθύ. Ἐκ τῆς μελέτης τῶν Κωδίκων ἀπεκόμισα τὴν βεβαιότητα ὅτι ἐν παντὶ κλάδῳ τοῦ ἀρχαίου ἐκκλησιαστικοῦ ἡμῶν βίου, ἄνευ τῆς χειραγωγίας καὶ ἐμβριθοῦς ἐρεύνης τούτων πᾶσα προσπάθεια ἡμῶν πρὸς ἀνακάλυψιν καὶ εὕρεσιν τῆς ἀληθείας ἔσται ἀτελὴς καὶ ἄγονος καὶ ἄκαρπος. Καὶ ἀπόδειξις τῶν λεγομένων μοι ἡ προσθήκη εἰς τὸν Κατάλογον τῶν μέχρι τοῦδε γνωστῶν ἀσματογράφων 187 νέων τοιούτων ἁλιευθέντων ἐκ διαφόρων Κωδίκων καὶ ὑποδεικνυομένων διὰ τοῦ ἀστερίσκου ἐν τῷ κατωτέρω Πίνακι μὴ ἀπαντώντων ὅλως ἐν τῷ μνημονευθέντι ἔργῳ τοῦ Γ. Παπαδοπούλου. Δὲν ἐξεζήτησα τούτους συστηματικῶς οὔτε ἐπεδόθην εἰς τὴν αὐτῶν ἀνακάλυψιν, ἀλλὰ συναντήσας τούτους ἐν τῇ ὁδῷ τῶν μελετῶν μου ἐσημείωσα ἐπιμελῶς τά τε αὐτῶν ὀνόματα καὶ τὰ ἔργα τούτων ὅσα ὑποδεικνύουσιν οἱ ἐντυχόντες μοι κώδικες, τοῦ τε ἁγίου Ὄρους, τῆς Λαύρας καὶ τοῦ Βατοπεδίου, τῆς ἐθνικῆς Βιβλιοθήκης τῶν Παρισίων, τῆς Ἀμβροσιανῆς τοῦ Μιλάνου καὶ τῆς τῶν Βλατέων μονῆς. Ἐὰν ἡ παραγωγὴ ἐξ ἁπλῆς συμπτώσεως εἶνε τοιαύτη, φαντάζομαι πόση ἔκπληξις ἀναμένει ἡμᾶς ὁπόταν συστηματικῶς ἐξερευνηθῶσιν οἱ μουσικοὶ Κώδικες τῆς Ἀνατολῆς καὶ δὴ τοῦ ἁγίου Ὄρους, ὡς ἐγένετο ὑπὸ τοῦ φιλοπόνου μοναχοῦ Σπυρίδωνος Λαυριώτου εἰς ὃν ὀφείλονται αἱ ὑποδείξεις τῶν Λαυριωτικῶν Κωδίκων, ποῖος ὄγκος ὀνομάτων καὶ μελουργημάτων κρυπτὸς συγκλειόμενος θὰ ἐκπηδήσῃ εἰς τὸ φῶς, καὶ πόση δόξα ἐθνικὴ τεθαμμένη ἀδόξως θὰ κοσμίσῃ τὰ μέτωπα ἡμῶν. Εἰς τὰς σιτοβρώτους περγαμηνὰς τῶν Βιβλιοθηκῶν θὰ εὕρωμεν τόσα δημοτικὰ ᾄσματα, τόσα μέλη Βυζαντινὰ ἅτινα ἐψάλλοντο εἰς διαφόρους περιστάσεις τοῦ βίου αὐτῶν εἰς γάμους, εἰς συμπόσια, εἰς δοχάς, εἰς πανηγύρεις, εἰς ἔκφρασιν τῶν ποικίλων τῆς καρδίας συναισθημάτων ὡς σημειοῦνται τοιαῦτα εἰς τοὺς Κώδικας καὶ παραθέτω προχείρως τὰ ἐν τῷ Λαυριωτικῷ Κώδ. Ι **151**.

« Κόρη τις κάθητο πουρνὸ γυμνὴ κ' ἀπεζωμένη
καὶ τὰ μαλιά της ἄπλεκτα τὸ φρύδι της γαϊτάνι
τὸν ἥλιον ἀνατράχηζε τ' ἄστρι καὶ τὸ φεγγάρι ·
ἥλιε περιχαμήλωσε φεγκάρ' παρακατέβα
γιὰ νὰ σὲ πῶ τοὺς πόνους μου τοὺς ἀναστεναγμούς μου
πῶς ἤμουν κόρη εὔμορφη καὶ ροδιανὴ κοπέλα
μὲ κάποιο ἀρχοντόπουλο συναλαξία ἐκάμα
ἔδωκα χεῖλι κόκινο καὶ πῆρα μαῦρα μάτια
γιὰ νὰ χαροῦμαι τὸν καιρὸ μέραις καὶ ἑβδομάδες. »

Καὶ τὸ ἐν Κ **171** τῆς αὐτῆς Λαύρας.

« Στρατιώτης τὰ φουσάτα
κυνηγὸς βουνὰ λαγκάδια
ψαρᾶς δίκτυα παραγάδια
εἰς τὸν ὕπνον του θωρεῖ ·
ἔτσι ὁμοίως καὶ ἐγὼ
ὁ θλιμμένος θεωρῶ
ἐκείνη ὁποῦ στενάζω
καὶ ὅπου καθ' ἡμέρα κράζω
καὶ ὅπου πάντα ἐπιθυμῶ. »

